fool nor then him this at-least warded-off grievous destruction
ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
but was-subdued under hands of-swift-footed descendant-of-Aeacus
ἐν ποταμῷ· χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων·
in river gold and Achilles carried-off warlike

51 καταγελῶν αὐτοῦ τῆς τρυφῆς ἅμα καὶ τῆς ἀφροσύνης,
mocking his the luxury together and the folly
ὅτι τοῖς πολεμίοις ἆθλα ἐκόμιζε τοῦ θανάτου σχεδόν.
because to-the enemies prizes he-carried of-the death nearly
οὔκουν φαίνεται χρυσοφορίας ἐπαινῶν Ὅμηρος, καὶ ταῦτα
not-then appears gold-wearing praising Homer and this
εἰς πόλεμον, ψελίων τε καὶ στρεπτῶν, ἔτι δὲ χρυσῶν
into war of-armlets both and necklaces further and of-golden
φαλάρων καὶ χαλινῶν, ὁποῖα τοὺς Πέρσας φασὶν ἐπιτηδεύειν·
trappings and bridles such-as the Persians they-say to-practice
οὐ γὰρ ἔχουσιν ἐπιτιμητὴν Ὅμηρον τῶν πολεμικῶν.
not for they-have censor Homer of-the military-things
52 ἐκ δὲ τούτων τῶν ἐπιτηδευμάτων τούς τε ἄρχοντας
from and these the practices the both rulers
πεποίηκεν ἀγαθοὺς καὶ τὸ πλῆθος εὔτακτον. προΐασι
he-has-made good and the multitude orderly advance
γοῦν αὐτῷ σιγῇ, δειδιότες σημάντορας, οἱ δὲ βάρβαροι
at-least for-him in-silence fearing commanders the but barbarians
μετὰ πολλοῦ θορύβου καὶ ἀταξίας, ταῖς γεράνοις ὁμοίως·
with much din and disorder to-the cranes like
ὡς τοῦτο μάλιστα σωτήριον ὂν καὶ νικηφόρον ἐν
as this most saving being and victory-bringing in
τοῖς κινδύνοις, τὸ μὴ ἀδεεῖς εἶναι τῶν ἡγεμόνων τοὺς
the dangers the not fearless to-be of-the leaders the
στρατιώτας. ὅσοι δ' ἂν ὦσιν ἄφοβοι τῶν σφετέρων
soldiers as-many-as but — are unafraid of-the their-own
ἀρχόντων, οὗτοι τάχιστα ἂν φοβοῖντο τοὺς πολεμίους.
rulers these most-quickly — would-fear the enemies

καὶ μέντοι καὶ νικῶντας τοὺς Ἀχαιοὺς καθ' ἡσυχίαν 53
and indeed also victorious the Achaeans in quiet
φησὶ στρατοπεδεύειν· παρὰ δὲ τοῖς Τρωσὶν ἐπειδή τι
he-says to-encamp among but the Trojans when some
πλεονεκτεῖν ἔδοξαν, εὐθὺς εἶναι δι' ὅλης τῆς νυκτὸς
to-have-the-advantage they-seemed at-once to-be through whole the night

αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων·
of-pipes of-panpipes and sound din and of-men

ὡς καὶ τοῦτο ἱκανὸν ὂν σημεῖον ἀρετῆς ἢ κακίας, οἵτινες
as also this sufficient being sign of-virtue or of-vice whoever
ἂν ἐγκρατῶς τὰς εὐτυχίας ἢ τοὐναντίον μεθ' ὕβρεως
— with-self-control the good-fortunes or the-contrary with insolence
φέρωσιν.
bear
ἐμοὶ μὲν οὖν, ὦ πάτερ, ἱκανώτατος σωφρονιστὴς Ὅμηρος 54
to-me indeed then O father most-sufficient chastener Homer
καὶ ὁ τούτῳ πειρώμενος τὸν νοῦν προσέχειν εὐτυχέστατός
and the to-him trying the mind to-attend most-fortunate
τε καὶ ἄριστος βασιλεύς. αὐτὸς γὰρ σαφῶς ὑποτίθεται
both and best king he-himself for clearly proposes
δύο τὰς βασιλικωτάτας ἀρετὰς τήν τε ἀνδρείαν καὶ
two the most-kingly virtues the both courage and
δικαιοσύνην, ὅπου φησίν,
justice where he-says

ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής,
both king and good mighty and spearman

55 ὡς τῶν ἄλλων ταύταις συνεπομένων. οὐ μέντοι μόνον
as the others these accompanying not however only
αὐτὸν οἶμαι δεῖν διαφέρειν τὸν βασιλέα πρὸς τὸ
him I-think to-be-needful to-excel the king toward the
ἀνδρεῖον καὶ σεμνόν, ἀλλὰ μηδὲ τῶν ἄλλων ἀκούειν μήτ᾽
manly and august but not-even the others to-hear neither
αὐλούντων μήτε κιθαριζόντων μήτε ᾀδόντων ἀνειμένα μέλη
piping nor lyre-playing nor singing relaxed songs
καὶ τρυφερά, μηδὲ αὖ λόγων διεφθορότων κακοὺς ζήλους
and luxurious nor in-turn of-words corrupted bad emulations
παραδέχεσθαι, πρὸς ἡδονὴν τῶν ἀμαθεστάτων γεγονότας,
to-admit for pleasure of-the most-ignorant having-arisen
56 ἀλλὰ πάντα τὰ τοιαῦτα πρῶτον μὲν καὶ μάλιστα ἐκβαλεῖν
but all the such-things first indeed and most to-cast-out
ὡς πορρωτάτω καὶ ἀποπέμψαι τῆς αὑτοῦ ψυχῆς, ἔπειτα
as farthest and to-send-away from-the his-own soul then
τῆς βασιλευούσης πόλεως, γέλωτάς τε ἀκράτους καὶ
from-the reigning city laughters both unmixed and
τοιούτου γέλωτος ποιητὰς μετὰ σκωμμάτων, ἐμμέτρου
of-such laughter makers with jests of-verse
τε καὶ ἀμέτρου, ὀρχήσεις τε πρὸς τούτοις ἀσελγεῖς καὶ
both and prose dances both besides these lewd and
σχήματα ἑταιρικὰ γυναικῶν ἐν ὀρχήσεσιν ἀκολάστοις,
postures courtesan-like of-women in dances licentious
αὐλημάτων τε ὀξεῖς καὶ παρανόμους ῥυθμοὺς καὶ κατεαγότα
of-pipings both shrill and lawless rhythms and broken
μέλη ἀμούσοις καμπαῖς καὶ πολυφώνων ὀργάνων ποικιλίας.
songs with-unmusical modulations and of-many-voiced instruments variations
57 μόνην δὲ ᾠδὴν μὲν ᾄσεται καὶ παραδέξεται τὴν τῷ
only but song indeed he-will-sing and will-admit the —
Ἐνυαλίῳ πρέπουσαν μάλα ἰσχυρὰν καὶ διάτορον, οὐχ ἡδονὴν
to-Enyalius befitting very strong and piercing not pleasure

οὐδὲ ῥᾳθυμίαν φέρουσαν τοῖς ἀκούουσιν, ἀλλ᾽ ἀμήχανον
nor indolence bringing to-those hearing but irresistible
φόβον καὶ θόρυβον, οἷον ὅ τε Ἄρης αὐτὸς ἤγειρεν,
fear and din such-as — both Ares himself raised

ὀξὺ κατ᾽ ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
shrill down from-topmost city to-Trojans urging

ὅ τε Ἀχιλλεὺς ὅτε φθεγξάμενος μόνον, πρὶν ὀφθῆναι,
— both Achilles when having-shouted only before to-be-seen
τροπὴν ἐποίησε τῶν Τρώων, καὶ δώδεκα ἀνδράσιν αἴτιος
rout made of-the Trojans and to-twelve men cause
ὑπῆρξεν ὀλέθρου περὶ τοῖς αὐτῶν ἅρμασι καὶ ὅπλοις·
was of-destruction about the their-own chariots and arms
καὶ τὴν ἐπὶ ταύτῃ ποιηθεῖσαν ὑπὸ τῶν Μουσῶν τὴν ἐπινίκιον, 58
and the on this composed by the Muses the victory-song
οἷον ἐκέλευεν Ἀχιλλεὺς, τοῖς Ἀχαιοῖς τὸν παιᾶνα ἅμα
such-as bade Achilles for-the Achaeans the paean together-with
τῇ τοῦ Ἕκτορος ἀγωγῇ πρὸς τὰς ναῦς αὐτὸς ἐξάρχων,
the — of-Hector bringing to the ships himself leading

νῦν δ᾽ ἄγ᾽ ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
now and come singing paean youths of-Achaeans
νηυσὶν ἐπὶ γλαφυρῇσι νεώμεθα, τόνδε δ᾽ ἄγωμεν.
to-ships beside hollow let-us-go-back this-one and let-us-lead
ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον,
we-have-won great glory we-have-slain Hector divine
ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὡς εὐχετόωντο.
to-whom Trojans throughout city to-god as prayed

59 ἔτι δὲ οἶμαι τὴν παρακλητικήν, οἵα ἡ τῶν
further and I-think the exhortatory such-as the(-one) of-the
Λακωνικῶν ἐμβατηρίων, μάλα πρέπουσα τῇ Λυκούργου
Laconian marching-songs very fitting to-the of-Lycurgus
πολιτείᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ἐκείνοις·
constitution and the practices those

ἄγετ', ὦ Σπάρτας εὐάνδρου
come O of-Sparta of-good-men
κοῦροι πατέρων πολιητᾶν,
youths of-fathers citizens
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
with-left indeed shield-rim hold-forward
δόρυ δ' εὐτόλμως πάλλοντες, ***
spear and boldly brandishing (lacuna)
μὴ φειδόμενοι τᾶς ζωᾶς·
not sparing of-the life
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.
not for ancestral — to-Sparta

60 χορεύματα δὲ καὶ χοροὺς ἀνάλογον τούτοις οὐ
dance-figures and and choruses analogous to-these not
σφαλλομένους οὐδὲ ἀκρατεῖς, ἀλλὰ ὡς οἷόν τε ἰσχυροὺς
tottering nor uncontrolled but as possible — strong
καὶ σώφρονας ἐπάγειν ἐν καθεστῶτι ῥυθμῷ· ὄρχησίν γε
and temperate to-introduce in settled rhythm dance at-least
μὴν τὴν ἐνόπλιον, τὴν γιγνομένην τοῖς θεοῖς ἀπαρχὴν
indeed the armed the becoming to-the gods first-fruit
ἅμα καὶ μελέτην τῶν πολεμικῶν, ἧς φησιν ὁ ποιητὴς
together and practice of-the military-things of-which says the poet

καὶ τὸν Μηριόνην ἔμπειρον εἶναι· τῶν γὰρ Τρώων τινὰ
also — Meriones skilled to-be of-the for Trojans one
πεποίηκε λέγοντα,
he-has-made saying

Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
Meriones soon — you even dancer though being
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ.
spear my would-have-stopped through-and-through if you I-had-struck indeed

ἢ σὺ οἴει ἄλλην τινὰ ἐπίστασθαι τὸν τοῦ Μόλου υἱόν, 61
or you think other some to-know the — of-Molus son
ἀριθμούμενον ἐν τοῖς ἀρίστοις τῶν Ἀχαιῶν, ἢ τὴν
numbered among the best of-the Achaeans than the
ἐνόπλιον, τὴν Κουρητικήν, ἥπερ ἦν ἐπιχώριος τοῖς Κρησίν,
armed the Curetic which was native to-the Cretans
τὴν ὀξεῖαν καὶ ἐλαφρὰν κίνησιν πρὸς τὸ διακλῖναι καὶ
the swift and light movement for the to-swerve and
φυλάξασθαι ῥᾳδίως τὸ βέλος;
to-guard-against easily the missile

A king should not pray like Anacreon or the Attic drinking songs, but as Agamemnon prays to Zeus for Troy's fall. Homer likens Agamemnon to a bull above the herd, not a lion: the bull grazes without violence, defends his herd from beasts, fights rival bulls for glory, and yet obeys the herdsmen. So a king should rule his equals justly, protect his people, vie with other kings in virtue, and obey the gods; Zeus removes the tyrant, as herdsmen remove a savage bull, and grants the good king old age or lasting fame, like Heracles. Philip, delighted, praises Aristotle's teaching.

62 τούτοις γε μὴν ξυνέπεται μηδὲ εὐχὰς εὔχεσθαι τὸν
with-these at-least indeed follows not-even prayers to-pray the
βασιλέα τοῖς ἄλλοις ὁμοίας μηδὲ αὖ τοὺς θεοὺς καλεῖν
king to-the others like nor in-turn the gods to-call
οὕτως εὐχόμενον ὥσπερ ὁ Ἰώνων ποιητὴς Ἀνακρέων, ὦναξ,
so praying as the of-Ionians poet Anacreon O-lord
ᾧ δαμάλης Ἔρως καὶ Νύμφαι κυανώπιδες πορφυρέη
with-whom subduer Love and Nymphs dark-eyed purple
τ' Ἀφροδίτη συμπαίζουσιν, ἐπιστρέφεαι δ' ὑψηλὰς ὀρέων
and Aphrodite play you-haunt and lofty of-mountains
κορυφάς, γουνοῦμαί σε, σὺ δ' εὐμενὴς ἔλθοις μοι,
peaks I-beseech you you and kindly may-you-come to-me
κεχαρισμένης δ' εὐχωλῆς ἐπακούειν· Κλευβούλῳ δ' ἀγαθὸς
pleasing and prayer to-hear to-Cleobulus and good
γενεῦ σύμβουλος, τὸν ἐμὸν δ' ἔρωτ', ὦ Δεύνυσε, δέχεσθαι.
be counselor the my and love O Dionysus to-accept

ἢ νὴ Δία τὰς τῶν Ἀττικῶν σκολιῶν τε καὶ ἐποινίων 63
or by Zeus the of-the Attic drinking-songs both and wine-songs
εὐχάς, οὐ βασιλεῦσι πρεπούσας, ἀλλὰ δημόταις καὶ
prayers not for-kings fitting but for-demesmen and
φράτορσιν ἱλαροῖς καὶ σφόδρα ἀνειμένοις,
clansmen cheerful and very relaxed

εἴθε λύρα καλὴ γενοίμαν ἐλεφαντίνη,
would-that lyre beautiful I-might-become of-ivory
καί με καλοὶ παῖδες φορέοιεν Διονύσιον ἐς χορόν.
and me beautiful boys might-carry Dionysian into chorus
εἴθ' ἄπυρον καλὸν γενοίμαν μέγα χρυσίον,
would-that unfired beautiful I-might-become great gold
καί με γυνὴ καλὴ φοροίη.
and me woman beautiful might-wear

πολὺ δὲ μᾶλλον ὡς Ὅμηρος πεποίηκεν εὐχόμενον τὸν 64
much but rather as Homer has-made praying the
βασιλέα τῶν πάντων Ἑλλήνων,
king of-the all Greeks

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων,
Zeus most-glorious greatest dark-clouded in-ether dwelling
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
not before upon sun to-set and upon darkness to-come
πρίν με καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
before me headlong to-cast of-Priam hall
αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηίοιο θύρετρα·
blazing to-burn and with-fire consuming the-doors
Ἕκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι,
of-Hector and tunic about breast to-rend
χαλκῷ ῥωγαλέον, πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
with-bronze torn many and around him comrades
πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.
headlong in dust with-teeth may-bite earth

65 πολλὰ δὲ καὶ ἄλλα ἔχοι τις ἂν εἰπεῖν παρ᾽ Ὁμήρῳ
many and also other-things might-have anyone — to-tell in Homer
παιδεύματα καὶ διδάγματα ἀνδρεῖα καὶ βασιλικά, ὑπὲρ
lessons and teachings manly and kingly about
ὧν ἴσως μακρότερον τοῦ νῦν ἐπεξιέναι. πλὴν ὅτι
which perhaps longer than-the present to-go-through except that
γε τὴν αὑτοῦ γνώμην ἅπασαν ἀποδείκνυται σαφῶς,
at-least the his-own opinion all he-shows clearly
ὅτι πάντων ἄριστον οἴεται δεῖν τὸν βασιλέα εἶναι,
that of-all best he-thinks to-be-needful the king to-be
μάλιστα δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος, ὅτε τὸ πρῶτον
most and in-the-case-of — Agamemnon when the first
παρατάττει τὴν στρατιὰν καὶ τοὺς ἡγεμόνας σύμπαντας
he-marshals the army and the leaders all
καταλέγει καὶ τὸ πλῆθος τῶν νεῶν.
lists and the number of-the ships

ἐκεῖ γὰρ οὐδὲ ἅμιλλαν τῶν ἄλλων οὐδενὶ καταλέλοιπεν 66
there for not-even rivalry of-the other to-none has-he-left
ἡρώων πρὸς αὐτόν, ἀλλ᾽ ὅσον ταῦρος ἀγέλης ὑπερφέρει
of-heroes with him but as-much-as bull of-herd excels
κατὰ ῥώμην καὶ μέγεθος, τοσοῦτον διαφέρειν φησὶ τὸν
in strength and size so-much to-differ he-says the
βασιλέα, οὕτως λέγων·
king so saying

ἠύτε βοῦς ἀγέληφι μέγ᾽ ἔξοχος ἔπλετο πάντων
as ox in-herd greatly outstanding was of-all
ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι·
bull he for both among-cows stands-out gathered
τοῖον ἄρ᾽ Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ,
such then the-son-of-Atreus made Zeus on-day that
ἐκπρεπέ᾽ ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν.
conspicuous among many and outstanding among-heroes

τοῦτο δὲ οὐχ ἁπλῶς εἴρηκεν, ἐμοὶ δοκεῖν, τὴν ἰσχὺν αὐτοῦ 67
this and not simply has-he-said to-me to-seem the strength his
μόνον ἐπαινῶν καὶ ἐπιδεῖξαι βουλόμενος· οὕτω μὲν γὰρ
only praising and to-show wishing so indeed for
δὴ καὶ λέοντι παραβαλὼν καλῶς ἂν αὐτὸν ἐδόκει
indeed also to-lion having-compared well — him he-would-have-seemed
ἀφομοιῶσαι· τὸ δὲ ἥμερον τῆς φύσεως ἐνδεικνύμενος καὶ
to-liken the but gentleness of-the nature showing and
τὴν ὑπὲρ τῶν ἀρχομένων προθυμίαν. ὁ γὰρ ταῦρος οὐκ
the for the ruled eagerness the for bull not
ἔστι τῶν γενναίων μόνον ζῴων οὐδὲ αὑτοῦ χάριν χρῆται
is of-the noble only animals nor his-own for-the-sake uses
τῇ ἀλκῇ, καθάπερ ὅ τε λέων καὶ σῦς οἵ τε ἀετοί,
the might as the both lion and boar the both eagles

διώκοντες τὰ λοιπὰ ζῷα καὶ κρείττους γιγνόμενοι τροφῆς
pursuing the other animals and stronger becoming of-food
ἕνεκα τῆς αὑτῶν· διὸ δὴ καὶ μᾶλλον ἄν τις αὐτοὺς
for-the-sake the their-own therefore indeed also rather — anyone them
φαίη τυραννίδος παράδειγμα ἢ βασιλείας γεγονέναι.
would-say of-tyranny example than of-kingship to-have-become
68 ὁ δὲ ταῦρος σαφῶς, ἐμοὶ δοκεῖν, πρὸς βασιλείαν καὶ
the but bull clearly to-me to-seem for kingship and
βασιλέως εἰκόνα πεποίηται. τροφῇ τε γὰρ ἑτοίμῃ καὶ
of-king image has-been-made with-food both for ready and
διαίτῃ χρῆται νεμόμενος, ὥστε μηδὲν δεῖν βιάζεσθαι
way-of-life he-uses grazing so-that nothing to-need to-use-force
μηδὲ πλεονεκτεῖν ταύτης ἕνεκεν, ἀλλ' ὥσπερ τοῖς ὀλβίοις
nor to-be-greedy of-this for-the-sake but as to-the prosperous
βασιλεῦσιν ἀνελλιπῆ καὶ ἄφθονα ὑπάρχει τὰ τῆς
kings unfailing and abundant are-present the-things of-the
ἀναγκαίου κτήσεως.
necessary possession
69 βασιλεύει δὲ καὶ ἄρχει τῶν ὁμοφύλων μετ' εὐνοίας, ὡς ἂν
is-king and also rules the his-own-kind with goodwill as —
εἴποι τις, καὶ κηδεμονίας, τοῦτο μὲν ἐξηγούμενος νομῆς,
might-say one and care here indeed leading-the-way to-pasture
τοῦτο δὲ θηρίου φανέντος οὐ φεύγων, ἀλλὰ πάσης
there and beast having-appeared not fleeing but for-all
τῆς ἀγέλης προμαχόμενος καὶ τοῖς ἀσθενέσι βοηθῶν,
the herd fighting-in-front and the weak helping
προθυμούμενος σῴζειν τὸ πλῆθος ἀπὸ τῶν χαλεπῶν καὶ
eager to-save the multitude from the dangerous and
ἀγρίων θηρίων· ὥσπερ καὶ τὸν ἄρχοντα χρὴ καὶ βασιλέα
savage beasts as also the ruler it-is-needful and king
τῷ ὄντι καὶ τῆς μεγίστης ἐν ἀνθρώποις οὐκ ἀνάξιον τιμῆς.
in-the being and of-the greatest among men not unworthy honor

ἐνίοτέ γε μὴν ἄλλης ἀγέλης ἐπιφανείσης ἀγωνίζεται 70
sometimes at-least indeed other herd having-appeared he-contends
πρὸς τὸν ἐκείνης ἡγεμόνα νίκης ἕνεκα, ὡς κρείττω μὲν
with the its leader of-victory for-the-sake that better indeed
αὐτὸν δόξαι, κρείττω δὲ τὴν αὐτοῦ ἀγέλην. καὶ μὴν τό
himself to-seem better and the his-own herd and indeed the
γε ἀνθρώποις μὴ πολεμεῖν, ἀλλὰ τῶν ἀφρόνων ζῴων
at-least with-men not to-war but of-the senseless animals
ἡγεμονικώτατόν τε καὶ ἄριστον πεφυκότα ὅμως προσίεσθαι
most-fit-to-lead both and best being nevertheless to-accept
τὴν τοῦ κρείττονος ἡγεμονίαν, ἰσχύι μὲν καὶ θυμῷ καὶ βίᾳ
the of-the better leadership in-strength indeed and spirit and force
μηδενὸς ἡττώμενον μηδὲ ὑπείκοντα, λογισμῷ δὲ καὶ φρονήσει
by-no-one being-defeated nor yielding to-reasoning but and wisdom
ἑκόντα ὑποταττόμενον, πῶς οὐχὶ καὶ τοῦτο θείη τις ἂν
willingly being-subordinated how not also this would-set anyone —
παίδευμα καὶ δίδαγμα βασιλικὸν τῶν σωφρόνων βασιλέων,
lesson and teaching kingly of-the temperate kings
τὸ δεῖν ἀνθρώπων μὲν τῶν ὁμοίων κρείττονα 71
the to-be-needful men indeed the like better
φαινόμενον ἄρχειν, δικαίως καὶ κατὰ φύσιν ἔχοντα
appearing to-rule justly and according-to nature having
τὴν ἡγεμονίαν, καὶ τὸ μὲν πλῆθος σῴζειν τῶν ὑπηκόων,
the leadership and the indeed multitude to-save of-the subjects
προβουλεύοντα καὶ προπολεμοῦντα, ὅταν δέῃ, καὶ
planning-for-them and fighting-for-them when it-may-be-needful and
φυλάττοντα ἀπὸ τῶν ἀγρίων καὶ παρανόμων τυράννων,
guarding from the savage and lawless tyrants
πρὸς δὲ τοὺς ἄλλων βασιλέας, εἴ τινες ἄρα εἶεν,
toward and the of-others kings if any then should-be

ἁμιλλᾶσθαι περὶ τῆς ἀρετῆς καὶ ζητεῖν, εἰ δυνατὸν εἴη,
to-vie about the virtue and to-seek if possible it-were
ἐπ᾽ ὠφελείᾳ τῶν ὅποι ποτὲ ἀνθρώπων κρατεῖν·
for benefit of-the wherever ever men to-prevail
72 θεοῖς γε μὴν τοῖς ἀμείνοσιν ἕπεσθαι, καθάπερ οἶμαι
gods at-least indeed the better to-follow as I-think
νομεῦσιν ἀγαθοῖς, καὶ τὴν κρείττω καὶ μακαριωτέραν
herdsmen good and the better and more-blessed
φύσιν προτιμᾶν, δεσπότας αὑτοῦ καὶ ἄρχοντας νομίζοντα
nature to-honor-above masters of-himself and rulers considering
ἐκείνους, καὶ τοῦ μεγίστου καὶ πρώτου βασιλέως θεοῦ
those and of-the greatest and first king god
κτῆμα ἀποφαίνοντα τιμιώτατον πρῶτον μὲν αὑτόν, ἔπειτα
possession showing most-precious first indeed himself then
τοὺς ἄλλους τοὺς ὑπ᾽ αὐτῷ τεταγμένους.
the others the under him ranked
73 καὶ γὰρ δὴ ὥσπερ οἱ σώφρονες νομεῖς, ἐπειδὰν χαλεπὸς
and for indeed as the sensible herdsmen when harsh
καὶ ἄγριος ταῦρος γενόμενος ἄρχῃ ἀσελγῶς παρὰ φύσιν,
and savage bull having-become rules wantonly against nature
τῆς μὲν αὑτοῦ καταφρονῶν ἀγέλης καὶ λυμαινόμενος, τοὺς
the indeed his-own despising herd and maltreating the
δὲ ἔξωθεν ἐπιβουλεύοντας ὑποχωρῶν καὶ προβαλλόμενος
but from-outside plotting retreating-from and putting-forward
τὸ ἀδύνατον πλῆθος, μηδενὸς δὲ χαλεποῦ παρόντος
the powerless multitude no-one but harsh being-present
ὑβρίζων καὶ θρασυνόμενος, τοῦτο μὲν ὀξὺ καὶ ἀπειλητικὸν
running-riot and overbold here indeed shrilly and threateningly
μυκώμενος, τοῦτο δὲ ὀρθοῖς τοῖς κέρασι παίων τὸν οὐκ
bellowing there and with-upright the horns butting the not
ἀνθιστάμενον, ἐπιδεικνύμενος τὴν ἰσχὺν ἐν τοῖς ἥττοσι
resisting showing the strength among the weaker

καὶ τοῖς οὐ μαχομένοις, τὸ δὲ τῶν βοῶν πλῆθος οὐκ ἐῶν
and those not fighting the but of-the cows multitude not allowing
νέμεσθαι καθ᾽ ἡσυχίαν δι᾽ ἔκπληξιν καὶ φόβον· τότε
to-graze in quiet through terror and fear then
τοῦτον οἱ δεσπόται καὶ βουκόλοι μετέστησαν καὶ ἠφάνισαν,
him the masters and cowherds removed and made-away-with
ὡς οὐκ ἐπιτήδειον οὐδὲ συμφέροντα ἡγεῖσθαι τῆς ἀγέλης·
as not fit nor advantageous to-lead the herd
τὸν δὲ πρᾷον μὲν ταῖς ἑπομέναις βουσίν, εὔψυχον δὲ 74
the but gentle indeed to-the following cows brave and
καὶ ἄφοβον πρὸς τὰ θηρία, σεμνὸν δὲ καὶ μεγαλοπρεπῆ
and fearless toward the beasts august and and magnificent
καὶ δυνατὸν φυλάττειν καὶ προηγεῖσθαι τῆς ἀγέλης, τοῖς
and able to-guard and to-lead of-the herd to-the
δέ γε νομεῦσιν εἴκοντα καὶ πειθόμενον, ἐῶσι μέχρι
and at-least herdsmen yielding and obeying they-allow until
γήρως ὑστάτου, κἂν ἤδη βαρύτερος τὸ σῶμα γένηται.
old-age last even-if already heavier in-the body he-becomes
ὁμοίως δὲ καὶ οἱ θεοὶ καὶ ὁ δὴ μέγας βασιλεὺς 75
likewise and also the gods and the indeed great king
βασιλέων, ὅτε κηδεμὼν καὶ πατὴρ κοινὸς ἀνθρώπων
of-kings when guardian and father common of-men
καὶ θεῶν, ὃς ἂν ἀνθρώπων γένηται βίαιος καὶ ἄδικος
and gods who — of-men becomes violent and unjust
καὶ παράνομος ἄρχων, τὴν ἰσχὺν οὐ τοῖς πολεμίοις
and lawless ruler the strength not to-the enemies
ἐνδεικνύμενος, ἀλλὰ τοῖς ὑπηκόοις καὶ τοῖς φίλοις,
showing but to-the subjects and to-the friends
ἄπληστος μὲν ἡδονῶν, ἄπληστος δὲ χρημάτων, ὑπονοῆσαι
insatiable indeed of-pleasures insatiable and of-money to-suspect
ταχύς, ἀμείλικτος ὀργισθείς, ὀξὺς πρὸς διαβολάς,
quick implacable having-been-angered sharp toward slanders

ἀπειθὴς λόγοις, πανοῦργος, ἐπίβουλος, ταπεινός, αὐθάδης,
disobedient to-words knavish plotting base self-willed
τοὺς κακοὺς αὔξων, τοῖς κρείττοσι φθονῶν, παιδείας
the bad increasing the better envying of-education
ἀσύνετος, φίλον οὐδένα νομίζων οὐδ' ἔχων, ὡς ἔλαττον
uncomprehending friend none considering nor having as less
αὑτοῦ κτῆμα, ἐκεῖνον ἐκποδὼν ἐποιήσατο καὶ μετέστησεν,
than-himself possession that-one out-of-the-way made and removed
76 ὡς οὐκ ἄξιον ὄντα βασιλεύειν οὐδὲ κοινωνεῖν τῆς αὑτοῦ
as not worthy being to-be-king nor to-share of-the his
τιμῆς καὶ ἐπωνυμίας, μετά τε αἰσχύνης καὶ προπηλακισμοῦ,
honor and name with both shame and abuse
καθάπερ οἶμαι Φάλαρίν τε καὶ Ἀπολλόδωρον καὶ πολλοὺς
as I-think Phalaris both and Apollodorus and many
ἄλλους τῶν ὁμοίων.
others of-the like
77 τὸν δέ γε ἀνδρεῖον καὶ φιλάνθρωπον καὶ τοῖς ὑπηκόοις
the but at-least manly and humane and to-the subjects
εὔνουν καὶ τιμῶντα μὲν τὴν ἀρετὴν καὶ συναγωνιῶντα
well-disposed and honoring indeed the virtue and anxious-with-them
μή τινος τῶν ἀγαθῶν δόξῃ φαυλότερος, τοὺς δὲ ἀδίκους
lest of-any of-the good be-seem inferior the and unjust
μετανοεῖν ἀναγκάζοντα, τοῖς δὲ ἀσθενέσιν ἀρήγοντα, τῆς
to-repent compelling the and weak helping for-the
ἀρετῆς ἀγάμενος ὡς τὸ πολὺ μὲν ἄγει πρὸς γῆρας,
virtue admiring as the most indeed leads to old-age
καθάπερ ἀκούομεν Κῦρόν τε καὶ Δηιόκην τὸν Μῆδον καὶ
as we-hear Cyrus both and Deioces the Mede and
Ἰδάνθυρσον τὸν Σκύθην καὶ Λεύκωνα καὶ πολλοὺς τῶν
Idanthyrsus the Scythian and Leucon and many of-the
Λακωνικῶν βασιλέων καὶ τῶν ἐν Αἰγύπτῳ πρότερόν τινας·
Laconian kings and of-the in Egypt earlier some

ἐὰν δὲ τὸ τῆς εἱμαρμένης ἀναγκαῖον ἐπείγῃ πρὸ τοῦ 78
if but the of-the fate necessity presses before the
γήρως, ἀλλ' οὖν μνήμης γε ἀγαθῆς καὶ παρὰ πᾶσιν
old-age but then of-memory at-least good and among all
εὐφημίας εἰς τὸν ἀεὶ χρόνον ἠξίωσε, καθάπερ, εἶπεν
good-report for the always time thought-worthy as said
ὁ Ἀλέξανδρος, τὸν ἡμέτερον πρόγονον, τὸν νομισθέντα
— Alexander the our ancestor the considered
τοῦ Διὸς διὰ τὴν ἀρετὴν Ἡρακλέα.
— of-Zeus because-of the virtue Heracles
ταῦτα δὲ ἀκούσας ὁ Φίλιππος, ἡσθείς, Οὐ μάτην, εἶπεν, 79
these-things and having-heard — Philip pleased not in-vain he-said
Ἀλέξανδρε, περὶ πολλοῦ ποιούμεθα τὸν Ἀριστοτέλη, καὶ τὴν
Alexander of much we-make — Aristotle and the
πατρίδα αὐτῷ συνεχωρήσαμεν ἀνακτίζειν, Στάγειρα τῆς
fatherland for-him we-allowed to-refound Stagira —
Ὀλυνθίας οὖσαν. ὁ γὰρ ἀνὴρ ἄξιος πολλῶν καὶ μεγάλων
of-Olynthia being the for man worthy of-many and great
δωρεῶν, εἰ τοιαῦτά σε διδάσκει περί τε ἀρχῆς καὶ
gifts if such-things you he-teaches about both rule and
βασιλείας εἴτε Ὅμηρον ἐξηγούμενος εἴτε ἄλλον τρόπον.
kingship whether Homer expounding or other way

ON KINGSHIP III

I · HAPPINESS AND FLATTERY

Socrates said he could not know whether the Persian king was happy, having never met him, since happiness comes from a man's own mind, not his gold; Dio, who knows the emperor, can say that he loves truth more than flattery and toil more than pleasure. Blessed is the man with the greatest power after the gods who uses it best, more lawful than a judge, more toiling than a laborer, kinder than a father: his good fortune serves all, for his virtues make even others better. Dio, who spoke the truth under danger, will not flatter now: flattery is the most shameful of vices, debasing praise as forgers debase coinage, and fails to please even those it praises.

1 Σωκράτης Ἀθήνησι, πρεσβύτης ἀνὴρ καὶ πένης, ὃν καὶ
Socrates at-Athens old man and poor whom also
σὺ γιγνώσκεις ἀκοῇ πρὸ πάνυ πολλῶν ἐτῶν γενόμενον,
you know by-hearsay before very many years having-lived
πυθομένου τινὸς εἰ εὐδαίμονα νομίζοι τὸν Περσῶν
having-asked someone whether happy he-considered the of-Persians
βασιλέα, Τυχόν, εἶπεν, εὐδαίμων· οὐκ ἔφη δὲ αὐτὸς
king perhaps he-said happy not he-said but himself
εἰδέναι διὰ τὸ μὴ συγγενέσθαι αὐτῷ μηδὲ γιγνώσκειν
to-know because-of the not to-have-associated with-him nor to-know
ὁποῖός ἐστι τὴν διάνοιαν, ὡς οὐκ ἀλλαχόθεν οἶμαι
of-what-sort he-is in-the mind as not from-elsewhere I-think
γιγνόμενον τὸ εὐδαιμονεῖν, ἀπὸ χρυσωμάτων ἢ πόλεων ἢ
coming the being-happy from gold-vessels or cities or
χώρας ἢ ἄλλων ἀνθρώπων, ἑκάστῳ δὲ παρά τε αὑτοῦ
land or other men to-each but from both himself
καὶ τῆς αὑτοῦ διανοίας.
and the his-own mind

ὁ μὲν οὖν Σωκράτης, ὅτι ἐτύγχανεν ἄπειρος ὢν 2
— *indeed then Socrates because he-happened inexperienced being*
τοῦ Πέρσου τῆς ψυχῆς, ἄπειρος ἡγεῖτο εἶναι καὶ
of-the Persian of-the soul inexperienced thought to-be also
τῆς εὐδαιμονίας αὐτοῦ. ἐγὼ δέ, ὦ γενναῖε αὐτοκράτορ,
of-the happiness his I but O noble emperor
παραγέγονά σοι, καὶ τυχὸν οὐδενὸς ἧττον ἔμπειρός
have-been-present with-you and perhaps than-none less experienced
εἰμι τῆς σῆς φύσεως, ὅτι τυγχάνεις χαίρων ἀληθείᾳ καὶ
I-am of-the your nature that you-happen rejoicing in-truth and
παρρησίᾳ μᾶλλον ἢ θωπείᾳ καὶ ἀπάτῃ.
frankness rather than in-flattery and deceit
αὐτίκα τὰς μὲν ἀλόγους ἡδονὰς ὑποπτεύεις, καθάπερ 3
for-example the indeed irrational pleasures you-suspect as
ἀνθρώπους κόλακας, τοὺς δὲ πόνους ὑπομένεις, ἐλέγχους
men flatterers the but toils you-endure tests
ὑπολαμβάνων εἶναι τῆς ἀρετῆς. ἐπειδὴ δὲ ὁρῶ σε,
considering to-be of-the virtue since and I-see you
αὐτοκράτορ, ἐντυγχάνοντα τοῖς παλαιοῖς ἀνδράσι καὶ
emperor reading the ancient men and
συνιέντα φρονίμων καὶ ἀκριβῶν λόγων, φημὶ δὴ σαφῶς
understanding prudent and exact words I-say indeed clearly
ἄνδρα εἶναι μακάριον, τὸν μεγίστην μὲν ἔχοντα δύναμιν
man to-be blessed the(-one) greatest indeed having power
μετὰ τοὺς θεούς, κάλλιστα δὲ τῷ δύνασθαι χρώμενον.
after the gods most-finely but the being-able using
ᾧ γὰρ ἐξὸν ἁπάντων μὲν ἀπολαύειν τῶν ἡδέων, 4
to-whom for being-permitted of-all indeed to-enjoy the pleasant
μηδενὸς δὲ πειρᾶσθαι τῶν ἐπιπόνων, ῥᾳθυμοῦντα δὲ ὡς
of-none but to-try of-the toilsome being-idle and as
οἷόν τε βιοτεύειν, συνελόντι δὲ εἰπεῖν, πράττοντα
possible — to-live to-one-having-summed-up and to-say doing

ὅ τι βούλεται, οὐ μόνον κωλύοντος οὐδενὸς ἀλλὰ καὶ
what ever he-wishes not only preventing no-one but even
ἐπαινούντων ἁπάντων, οὗτος ὁ ἀνήρ,
praising all this the man
5 ὅταν ᾖ νομιμώτερος μὲν δικαστὴς τῶν κατὰ κλῆρον
when he-is more-lawful indeed judge than-those by lot
δικαζόντων, ἐπιεικέστερος δὲ βασιλεὺς τῶν ὑπευθύνων
judging more-reasonable and king than-the accountable
ἐν ταῖς πόλεσιν ἀρχόντων, δικαιότερος δὲ στρατηγὸς
in the cities magistrates more-just and general
τῶν ἑπομένων στρατιωτῶν, φιλοπονώτερος δὲ ἐν ἅπασι
than-the following soldiers more-toil-loving and in all
τοῖς ἔργοις τῶν ὑπ᾽ ἀνάγκης πονούντων, ἔλαττον δὲ
the deeds than-those by necessity toiling less and
βουλόμενος τρυφᾶν τῶν μηδεμιᾶς εὐπορούντων
wishing to-live-luxuriously than-those no having
τρυφῆς, εὐνούστερος δὲ τοῖς ὑπηκόοις τῶν φιλοτέκνων
luxury more-well-disposed and to-the subjects than-the child-loving
πατέρων, φοβερώτερος δὲ τοῖς πολεμίοις τῶν ἀνικήτων
fathers more-formidable and to-the enemies than-the unconquered
καὶ ἀμάχων θεῶν, πῶς οὐκ ἂν εἴποι τις τοῦδε τοῦ
and invincible gods how not — would-say one of-this the
ἀνδρὸς ἀγαθὸν εἶναι τὸν δαίμονα, οὐκ αὐτῷ μόνον,
man good to-be the fortune not for-himself only
ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι;
but also for-the others all
6 τῶν μὲν γὰρ πολλῶν ἀνθρώπων καὶ ἰδιωτῶν ὀλίγος ὁ
of-the indeed for many men and private-persons small the
δαίμων καὶ μόνου τοῦ ἔχοντος· ὅτου δ᾽ ἂν παμπληθεῖς μὲν
fortune and of-only the possessor whose but — very-many indeed
ὑπακούωσι πόλεις, πάμπολλα δὲ ἔθνη κυβερνᾶται διὰ τῆς
obey cities very-many and nations are-steered through the

γνώμης, ἀνήριθμα δὲ φῦλα ἀνθρώπων καὶ ἄμικτα ἀλλήλοις
judgment countless and tribes of-men and unmixed with-one-another
ἀποβλέπῃ πρὸς τὴν φρόνησιν, πάντων οὗτος ἀνθρώπων
look to the wisdom of-all this-one men
γίγνεται σωτὴρ καὶ φύλαξ, ἄνπερ ᾖ τοιοῦτος. τοῦ γὰρ
becomes savior and guardian if-indeed he-is such of-the for
πάντων ἄρχοντος καὶ κρατοῦντος ἡ μὲν φρόνησις ἱκανὴ καὶ
all ruling and mastering the indeed wisdom sufficient even
τοὺς ἄφρονας ὠφελεῖν· βουλεύεται γὰρ ὁμοίως ὑπὲρ πάντων.
the senseless to-benefit he-deliberates for alike for all
ἡ δὲ σωφροσύνη καὶ τοὺς ἀκολαστοτέρους σωφρονεστέρους 7
the and temperance also the more-licentious more-temperate
ποιεῖ· ἐφορᾷ γὰρ ὁμοίως ἅπαντας. ἡ δὲ δικαιοσύνη
makes oversees for alike all the and justice
καὶ τοῖς ἀδίκοις αὐτῆς μεταδίδωσιν, ἡ δὲ ἀνδρεία
also to-the unjust of-itself imparts the and courage
καὶ τοὺς ἧττον εὐψύχους οὐ μόνον σῴζειν, ἀλλὰ καὶ
also the less brave not only to-save but also
θαρραλεωτέρους ποιεῖν δύναται.
more-confident to-make is-able
οὔτε γὰρ δειλὸς οὕτως ἄγαν οὐδεὶς ὥστε μὴ θαρρεῖν 8
neither for coward so very anyone so-that not to-be-confident
ἑπόμενος μεθ' οὗ νικᾶν ἕτοιμον, οὔτε ἐπὶ τοσοῦτον
following with whom to-win ready nor to such-an-extent
ἀνειμένος ὥστε ῥᾳθυμεῖν παρατεταμένον ὁρῶν ᾧ
relaxed so-that to-be-idle drawn-up seeing him-to-whom
μόνῳ τὸ προστάττειν ἔνειμεν ὁ θεός, οὐδ' αὖ σφόδρα
alone the to-command assigned the god nor in-turn very
οὕτως ἀναίσχυντος ὥστε περὶ ἑτέρου πονεῖν ἀναγκαῖον,
so shameless so-that for another to-toil necessary
τούτῳ δὲ μὴ συμπονεῖν ἐθέλειν.
with-this-one and not to-toil-with to-wish

9 δοκεῖ δέ μοι καὶ Ὅμηρος αὐτὸ τοῦτο φράζειν· μνησθεὶς
seems and to-me also Homer itself this to-declare having-mentioned
γὰρ τοῦ χρηστοῦ βασιλέως ἐπὶ πᾶσιν εἴρηκεν,
for the good king after all has-said

ἀρετῶσι δὲ λαοὶ ὑπ᾽ αὐτοῦ.
prosper and peoples under him

ὁ γὰρ τοιοῦτος βασιλεὺς τοῖς μὲν ἄλλοις καλὸν κτῆμα
the for such king for-the indeed others fine possession
τὴν ἀρετὴν νενόμικεν, αὑτῷ δὲ καὶ ἀναγκαῖον.
the virtue has-considered for-himself but also necessary
10 τίνι μὲν γὰρ δεῖ πλείονος φρονήσεως ἢ τῷ
for-whom indeed for it-is-needful more wisdom than for-the-one
βουλευομένῳ περὶ τῶν μεγίστων; τίνι δὲ ἀκριβεστέρας
deliberating about the greatest for-whom and more-exact
δικαιοσύνης ἢ τῷ μείζονι τῶν νόμων; τίνι δὲ
justice than for-the-one greater than-the laws for-whom and
σωφροσύνης ἐγκρατεστέρας ἢ ὅτῳ πάντα ἔξεστι;
temperance more-self-controlled than for-whom all-things is-permitted
τίνι δὲ ἀνδρείας ἰσχυροτέρας ἢ ὑφ᾽ οὗ πάντα σῴζεται;
for-whom and courage stronger than by whom all-things are-saved
11 τίνα δὲ μᾶλλον εὐφραίνει τὰ ἔργα τῆς ἀρετῆς ἢ τὸν
whom and more delight the deeds of-the virtue than the(-one)
σύμπαντας ἀνθρώπους θεατὰς καὶ μάρτυρας ἔχοντα τῆς
all men spectators and witnesses having of-the
αὑτοῦ ψυχῆς; ὥστε μήποτε πράξαντι μηδὲν οἷόν τε
his-own soul so-that never for-one-having-done anything possible —
λαθεῖν, οὐ μᾶλλον ἢ τῷ ἡλίῳ πορεύεσθαι διὰ σκότους·
to-escape-notice no more than for-the sun to-travel through darkness
πάντα γὰρ τἄλλα ἀναφαίνων πρῶτον ἑαυτὸν ἐπιδείκνυσι.
all for the-other-things revealing first itself it-shows

λέγω δὲ ταῦτα οὐκ ἀγνοῶν ὅτι τὰ ῥηθέντα νῦν ὑπ᾽ 12
I-say and these-things not being-ignorant that the-things spoken now by
ἐμοῦ ἐν πλείονι χρόνῳ ἀνάγκη λέγεσθαι· ἀλλ᾽ οὐκ ἔστι δέος
me in more time necessary to-be-said but not there-is fear
μήποτε ἐγὼ φανῶ τι κολακείᾳ λέγων. οὐ γὰρ ὀλίγην
lest-ever I may-appear anything in-flattery saying not for small
οὐδὲ ἐν ὀλίγῳ χρόνῳ δέδωκα βάσανον τῆς ἐλευθερίας.
nor in small time have-I-given test of-the freedom
εἰ δὲ ἐγὼ πρότερον μέν, ὅτε πᾶσιν ἀναγκαῖον ἐδόκει 13
if but I earlier indeed when for-all necessary it-seemed
ψεύδεσθαι διὰ φόβον, μόνος ἀληθεύειν ἐτόλμων, καὶ ταῦτα
to-lie through fear alone to-tell-truth dared and that
κινδυνεύων ὑπὲρ τῆς ψυχῆς, νῦν δέ, ὅτε πᾶσιν ἔξεστι
risking for the life now but when for-all it-is-permitted
τἀληθῆ λέγειν, ψεύδομαι, μηδενὸς κινδύνου παρεστῶτος,
the-truth to-say I-lie no danger being-present
οὐκ ἂν εἰδείην οὔτε παρρησίας οὔτε κολακείας καιρόν.
not — I-would-know either of-frankness or of-flattery the-time
καίτοι σύμπαντες οἱ πράττοντες ὁτιοῦν ἑκόντες ἢ 14
and-yet all those doing anything willingly either
χρημάτων ἕνεκα πράττουσιν ἢ δόξης ἢ δι᾽ ἡδονήν
of-money for-the-sake do or of-reputation or through pleasure
τινα ἄλλην ἢ λοιπὸν οἶμαι δι᾽ ἀρετὴν καὶ τὸ καλὸν
some other or lastly I-think through virtue and the noble
αὐτὸ τιμῶντες.
itself honoring
ἐγὼ δὲ χρήματα μὲν λαβεῖν παρ᾽ οὐδενὸς πώποτε 15
I but money indeed to-take from no-one ever
ἠξίωσα, πολλῶν δοῦναι βουλομένων, τῶν ἐμαυτοῦ δὲ
thought-fit many to-give wishing of-the my-own but

ὀλίγων ὑπαρχόντων οὐ μόνον μεταδιδοὺς ἑτέροις, ἀλλὰ
few possessions not only sharing with-others but
καὶ ῥίπτων φανήσομαι πολλάκις.
even throwing-away I-shall-be-seen often

16 ἡδονὴν δὲ ποίαν ἐθηρώμην, ὁπότε καὶ τῶν κολάκων οἱ
pleasure but what did-I-hunt when even of-the flatterers those
φανερῶς πεποιημένοι τέχνην ταύτην ὁμολογοῦσιν ἁπάντων
openly having-made art this admit than-all
ἀηδέστερον τὸ κολακεύειν; πῶς γὰρ ἡδύ, ἵν' ἄλλον
more-unpleasant the flattering how for pleasant so-that another
ἀδίκως ἐπαινῇ τις, αὐτὸν δικαίως ψέγεσθαι;
unjustly may-praise anyone himself justly to-be-blamed

17 καὶ μὴν οὐδὲ ἔνδοξον οὐδὲ καλὸν εἶναι δοκεῖ τὸ
and indeed not-even reputable nor fine to-be seems the
κολακεύειν, ἵνα τιμῆς ἕνεκεν ἢ δι' ἀρετήν τις τοῦτο
flattering so-that of-honor for-the-sake or through virtue anyone this
ἐπιτηδεύῃ. πασῶν γάρ, ὡς ἔπος εἰπεῖν, τῶν κακιῶν
may-practice of-all for as word to-say of-the vices
αἰσχίστην τις ἂν εὕροι τὴν κολακείαν.
most-shameful anyone — would-find the flattery

18 πρῶτον μὲν γὰρ τὸ κάλλιστον καὶ δικαιότατον διαφθείρει,
first indeed for the finest and most-just it-corrupts
τὸν ἔπαινον, ὥστε μηκέτι δοκεῖν πιστὸν μηδὲ ἀληθῶς
the praise so-that no-longer to-seem trustworthy nor truly
γιγνόμενον, καὶ τό γε πάντων δεινότατον, τὰ τῆς ἀρετῆς
happening and the at-least of-all most-terrible the of-the virtue
ἔπαθλα τῇ κακίᾳ δίδωσιν. ὥστε πολὺ χεῖρον δρῶσι
prizes to-the vice it-gives so-that much worse they-do
τῶν διαφθειρόντων τὸ νόμισμα· οἱ μὲν γὰρ ὕποπτον
than-those corrupting the coinage those indeed for suspect
ποιοῦσι τὸ νόμισμα, οἱ δὲ τὴν ἀρετὴν ἄπιστον.
make the coinage the(-others) but the virtue untrustworthy

ἔπειτα δὲ οἶμαι ἀεί ποτε μὲν ὁ πονηρὸς ἀνόητος λέγεται 19
then and I-think always ever indeed the wicked senseless is-called
καὶ ἔστιν ὄντως, τῷ δὲ ἄφρονι πάντας ὑπερβέβληκεν
and is really in-the and folly all has-surpassed
ὁ κόλαξ. μόνος γὰρ τῶν ἀφανιζόντων τὴν ἀλήθειαν
the flatterer alone for of-those obliterating the truth
πρὸς ἐκείνους θαρρεῖ τὰ ψευδῆ λέγειν τοὺς μάλιστα
to those dares the false-things to-say those most
εἰδότας ὅτι ψεύδεται. τίς γὰρ ἄπειρός ἐστι τῶν ἑαυτοῦ
knowing that he-lies who for inexperienced is of-the his-own
πραγμάτων; ἢ τίς ἠλίθιος οὕτως ὅστις οὐκ οἶδεν πότερον
affairs or who foolish so who not knows whether
πόνοις ἢ ῥᾳθυμίᾳ χαίρει καὶ πότερον ἥδεται πλέον
in-toils or in-idleness he-rejoices and whether he-is-pleased more
ἔχων ἢ τὰ δίκαια πράττων καὶ πότερον ἡδονῶν ἥττων
having or the just-things doing and whether by-pleasures weaker
ἐστὶν ἢ τῶν καλῶν πράξεων ἐραστής;
he-is or of-the fine deeds lover
καὶ τοίνυν ὃ μάλιστα οἴεται, χαρίζεσθαι τοῖς ἐπαινουμένοις, 20
and then what most he-thinks to-gratify those praised
ἐμοὶ δοκεῖ τούτου καὶ μάλιστα ἀποτυγχάνειν· τοὐναντίον
to-me seems in-this also most to-fail the-contrary
γὰρ ἀπεχθάνεσθαι μᾶλλον ἢ χαρίζεσθαι τοῖς μὴ τελέως
for to-be-hated rather than to-gratify by-those not completely
κούφοις.
light-headed
αὐτίκα ὁ τὸν πένητα μακαρίζων ὡς πλούσιον αὐτὸς 21
for-example the(-one) the poor-man blessing as rich himself
μὲν ψεύδεται, τῷ δὲ μακαριζομένῳ τὴν πενίαν ὀνειδίζει.
indeed lies to-the but blessed the poverty reproaches
πάλιν ὁ τὸν αἴσχιστον ὡς καλὸν ἐπαινῶν ἄλλο τι
again the(-one) the ugliest as handsome praising other something

ἢ προφέρει τὸ αἶσχος αὐτῷ; ἢ ὁ τὸν ἀνάπηρον
than brings-up the ugliness to-him or the(-one) the maimed
ὁλόκληρον εἶναι λέγων πῶς ἂν χαρίζοιτο ὑπομιμνήσκων
whole to-be saying how — would-be-gratify reminding
τῆς ἀτυχίας; ὁ δὲ αὖ τὸν ἀνόητον ὡς φρόνιμον ὑμνῶν,
of-the misfortune the but in-turn the senseless as prudent hymning
οὗτος ἂν τυχὸν ἁπάντων εἴη πιθανώτερος διὰ τὴν
this-one — perhaps than-all would-be more-persuasive because-of the
ἄνοιαν τοῦ ἀκούοντος καὶ τοσούτῳ γε μείζονα ἐργάζεται
folly of-the listener and by-so-much at-least greater works
βλάβην· ἀναπείθει γὰρ ὑπὲρ ἑαυτοῦ βουλεύεσθαι καὶ μὴ
harm he-persuades for for himself to-deliberate and not
τοῖς φρονίμοις ἐπιτρέπειν.
to-the prudent to-entrust

23 καθόλου δὲ φωραθεὶς μὲν ὁ κόλαξ οὐ καταγιγνώσκεται
in-general and having-been-caught indeed the flatterer not is-condemned
μόνον, ἀλλὰ καὶ μισεῖται· δοκεῖ γὰρ καταγελῶν λέγειν·
only but also is-hated he-seems for mocking to-speak
πείσας δὲ ὡς ἀληθῶς λέγει οὐ μεγάλης τινὸς τυγχάνει
having-persuaded but that truly he-speaks not great some meets
χάριτος. τί γὰρ καὶ δοκεῖ χαρίζεσθαι τἀληθῆ λέγων;
gratitude what for also does-he-seem to-gratify the-truth speaking

24 πολύ γε μὴν πονηρότερός ἐστι τῶν ψευδομένων
much at-least indeed more-wicked he-is than-the lying
μαρτύρων. οἱ μὲν γὰρ οὐ διαφθείρουσι τὸν δικαστήν,
witnesses the(-ones) indeed for not corrupt the judge
ἀλλὰ μόνον ἐξαπατῶσιν· ὁ δὲ κολακεύων ἅμα δεκάζει
but only deceive the but flattering at-once bribes
τῷ ἐπαίνῳ.
with-the praise

Dio will speak about the good king, and if he is said to repeat himself, so did Socrates, who told Hippias he always said the same things about the same subjects. Asked whether Xerxes, who cut through Athos and drove his army across the sea, was not the strongest of men, Socrates answered that if he was a coward ruled by anger, lust, fear, and sleep, he was weaker than the poorest man without a clod of land; nor did he know whether the Great King was a king at all, unless he ruled lawfully for his subjects' good. Rule is lawful care of men; kingship is rule answerable to no one; tyranny is violent use of men. Of the three good constitutions, kingship, aristocracy, and democracy, kingship is first, and each has its corruption; the clearest pattern of kingship is the rule of the universe under the first god, and the good king is dear to the gods.

ἵνα δὲ μήτε ἐγὼ κολακείας αἰτίαν ἔχω τοῖς 25
so-that but neither I of-flattery charge may-have from-those
θέλουσι διαβάλλειν μήτε σὺ τοῦ κατ' ὀφθαλμοὺς ἐθέλειν
wishing to-slander nor you of-the to-the eyes wishing
ἐπαινεῖσθαι, ποιήσομαι τοὺς λόγους ὑπὲρ τοῦ χρηστοῦ
to-be-praised I-will-make the words about the good
βασιλέως, ὁποῖον εἶναι δεῖ καὶ τίς ἡ διαφορὰ τοῦ
king of-what-sort to-be it-is-needful and what the difference of-the
προσποιουμένου μὲν ἄρχοντος εἶναι,
pretending indeed ruler to-be
πλεῖστον δὲ ἀπέχοντος ἀρχῆς καὶ βασιλείας. εἰ δέ τις 26
farthest but being-distant from-rule and kingship if but anyone
φήσει με τοὺς αὐτοὺς ποιεῖσθαι λόγους, τοῦτο ἂν εἴη
will-say me the same to-make words this — would-be
κοινὸν ἐμοὶ τὸ ἔγκλημα καὶ Σωκράτει. φασὶ γάρ ποτε
common to-me the charge and to-Socrates they-say for once

Ἱππίαν τὸν Ἠλεῖον, διὰ χρόνου πλείονος ἀκούοντα τοῦ
Hippias the Elean after time longer hearing —
Σωκράτους περὶ δικαιοσύνης καὶ ἀρετῆς λέγοντος,
Socrates about justice and virtue speaking
27 καὶ παραβάλλοντος, ὥσπερ εἰώθει, τοὺς κυβερνήτας
and comparing as he-was-wont the pilots
καὶ ἰατροὺς καὶ σκυτοτόμους καὶ κεραμέας, εἰπεῖν, ἅτε
and doctors and shoemakers and potters to-have-said as
σοφιστήν, Πάλιν σὺ ταὐτά, Σώκρατες; καὶ ὃς γελάσας
sophist again you the-same Socrates and he having-laughed
ἔφη, Καὶ περὶ τῶν αὐτῶν. σὺ μὲν γάρ, ὡς ἔοικεν, ὑπὸ
said and about the same-things you indeed for as it-seems through
σοφίας οὐδέποτε ταὐτὰ περὶ τῶν αὐτῶν λέγεις, ἡμῖν
wisdom never the-same about the same-things say to-us
δὲ ἓν τοῦτο δοκεῖ τῶν καλλίστων εἶναι. τοὺς μὲν γὰρ
but one this seems of-the finest to-be the indeed for
ψευδομένους οἴδαμεν πολλὰ καὶ ἀνόμοια λέγοντας·
lying we-know many and unlike-things saying
28 τοῖς δὲ ἀληθεύουσιν οὐχ οἷόν τε ἕτερα εἰπεῖν τῶν
to-those but telling-truth not possible — other-things to-say than-the
ἀληθῶν. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἄλλην ὑπόθεσιν σπουδαιοτέραν
true I but if indeed I-saw other theme more-serious
ἢ σοὶ μᾶλλον προσήκουσαν, ἐκείνην ἂν ἐπεχείρουν
or to-you more befitting that — I-would-attempt
ποιήσασθαι. νῦν δὲ οὔτε ἰατρὸν ἄλλους τινὰς ἀκούειν
to-make now but neither doctor other some to-hear
λόγους φαίην ἂν ὀρθῶς ἢ τοὺς περὶ ὑγιείας σώματος
words would-I-say — rightly than the about health of-body
καὶ νόσου· οὔτε κυβερνήτην ἢ τοὺς περὶ ὡρῶν καὶ ἀνέμων
and disease nor pilot than the about seasons and winds
καὶ ἄστρων· οὗτοι γὰρ κυβερνητικοὶ δικαίως λέγονται·
and stars these for of-piloting justly are-called

οὔτε ἄρχοντα καὶ βασιλέα ἢ τοὺς περὶ ἀρχῆς τε καὶ 29
nor ruler and king than the about rule both and
διοικήσεως ἀνθρώπων. ὡς δὲ καὶ περὶ τούτων ἐνόμιζε
administration of-men as but also about these thought
Σωκράτης πειράσομαι εἰπεῖν.
Socrates I-will-try to-say
μετὰ γὰρ τὴν ἀπόκρισιν τὴν περὶ τῆς εὐδαιμονίας ἐπύθετο 30
after for the answer the about the happiness inquired
τοῦ Σωκράτους ὁ ἐκεῖνο τὸ ἐρώτημα ἐρωτήσας, ὦ
— of-Socrates the(-one) that the question having-asked O
Σώκρατες, ἔφη, τοῦτο μὲν ἐπίστασαι παντὸς μᾶλλον,
Socrates he-said this indeed you-know than-everything rather
ὅτι τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἐκεῖνός ἐστιν ἰσχυρότατος
that of-the under the sun men that-one is strongest
καὶ μηδὲ τῶν θεῶν αὐτῶν ἧττονα ἔχων δύναμιν, ᾧ
and not-even than-the gods themselves less having power to-whom
γε ἔνεστι καὶ τὰ ἀδύνατα δοκοῦντα ποιῆσαι δυνατά.
at-least it-is-possible also the impossible seeming to-make possible
ἢ οὐκ ἀκήκοας ὅτι Ξέρξης ὁ τῶν Περσῶν βασιλεὺς τὴν 31
or not have-you-heard that Xerxes the of-the Persians king the
μὲν γῆν ἐποίησε θάλατταν, διελὼν τὸ μέγιστον τῶν
indeed land made sea having-cut-through the greatest of-the
ὀρῶν καὶ διαστήσας ἀπὸ τῆς ἠπείρου τὸν Ἄθω, διὰ
mountains and having-separated from the mainland — Athos through
δὲ τῆς θαλάττης τὸν πεζὸν στρατὸν ἄγων ἤλαυνεν ἐφ'
and the sea the foot army leading drove on
ἅρματος; ὥσπερ οἶμαι τὸν Ποσειδῶνά φησιν Ὅμηρος· καὶ
chariot as I-think — Poseidon says Homer and
τυχὸν ὁμοίως οἵ τε δελφῖνες καὶ τὰ κήτη κάτωθεν
perhaps likewise the both dolphins and the sea-monsters from-below
ὑπέπλει τὴν σχεδίαν, ὁπότε ἐκεῖνος ἤλαυνεν.
swam-under the raft when he drove

32 καὶ ὁ Σωκράτης, Οὐδὲ τοῦτό σοι ἔχω εἰπεῖν, εἴτε
and — Socrates not-even this to-you I-can to-say whether
μέγιστον ὁ ταῦτα ποιῶν δύναται, καθάπερ σὺ λέγεις,
greatest the(-one) these-things doing has-power as you say
εἴτε ἐλάχιστον ἢ τὸ παράπαν οὐδέν. αὐτίκα εἰ μὲν
or least or the at-all nothing for-example if indeed
ἦν σώφρων καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ μετὰ γνώμης
he-was temperate and brave and just and with judgment
ἔπραττεν ὅσα ἔπραττεν, ἰσχυρὸν αὐτὸν ἡγοῦμαι καὶ
did as-much-as he-did strong him I-consider and
μεγίστην ἔχειν τῷ ὄντι δύναμιν·
greatest to-have in-the being power

33 εἰ δὲ αὖ δειλὸς καὶ ἀνόητος καὶ ἀσελγὴς καὶ παράνομος
if but in-turn cowardly and senseless and wanton and lawless
καὶ δι᾽ ὕβριν ταῦτα ἐπιχειρῶν, τοὐναντίον ἔμοιγε
and through insolence these-things attempting the-contrary to-me
ἀσθενέστερος εἶναι δοκεῖ τῶν σφόδρα πενήτων καὶ μηδὲ
weaker to-be he-seems than-the very poor and not-even
ἕνα γῆς κεκτημένων βῶλον, ὥστε διαθρύψαι μακέλλῃ
one of-land having-acquired clod so-as to-break with-mattock
τροφῆς ἕνεκεν.
of-food for-the-sake

34 ὁ γὰρ ἀδύνατος μὲν ὀργὴν ἐπικατασχεῖν πολλάκις ὑπὲρ
the for unable indeed anger to-restrain often over
μικρῶν γιγνομένην, ἀδύνατος δὲ ἐπιθυμίαν παῦσαι τῶν
small-things arising unable and desire to-stop of-the
αἰσχίστων, ἀδύνατος δὲ ἀπώσασθαι λύπην, ἐνίοτε μηδενὸς
most-shameful unable and to-thrust-away grief sometimes nothing
λυπηροῦ παρόντος, οὐ δυνάμενος δὲ ὑπομεῖναι πόνους,
painful being-present not being-able and to-endure toils
οὐδὲ τοὺς ἡδονῆς ἕνεκεν γιγνομένους, ἀδύνατος δὲ τῆς
not-even those of-pleasure for-the-sake happening unable and from-the

ψυχῆς ἀπελάσαι φόβον, οὐδὲν ὠφελοῦντα ἐν τοῖς δεινοῖς,
soul to-drive fear in-nothing helping in the dangers
ἀλλὰ τὰ μέγιστα βλάπτοντα,
but the greatest harming
πῶς οὐκ ἄνανδρος σφόδρα, ἡττώμενος μὲν γυναικῶν, 35
how not unmanly very being-defeated indeed by-women
ἡττώμενος δὲ εὐνούχων; ἢ σὺ ἰσχυρὸν εἶναι λέγεις τὸν
being-defeated and by-eunuchs or you strong to-be say the(-one)
καὶ τοῦ μαλακωτάτου πάντων ἀσθενέστερον, ὕπνου;
even than-the softest of-all weaker sleep
ὑφ' οὗ ξυμποδισθεὶς πολλάκις ἄνευ δεσμῶν οὐχ ὅπως
by which fettered often without bonds not only
ἄλλοις, ἀλλ' οὐδ' ἑαυτῷ δύναται βοηθεῖν οὐδὲ ἐπίκουρον
others but not-even himself he-can to-help nor ally
οὐδένα καλέσαι τῶν βουλομένων ἀμύνειν;
any to-call of-those wishing to-defend
ταῦτα δὲ ἀκούσας εἶπεν, Ἐκεῖνο μέντοι οἶσθα δήπου, 36
these-things and having-heard he-said that however you-know surely
ὦ Σώκρατες, ὅτι τῆς ἁπάσης οἰκουμένης τοῦ πλείστου
O Socrates that of-the whole inhabited-world of-the largest
καὶ ἀρίστου βασιλεύει μέρους. ἔξω γὰρ τῆς Ἑλλάδος καὶ
and best he-is-king part outside for — of-Greece and
τῆς Ἰταλίας καί τινων ὀλίγων ἐθνῶν ἄλλων τῶν κατὰ
— of-Italy and some few nations others of-the in
τὴν Εὐρώπην ξύμπαντα τἄλλα ὑφ' ἑαυτῷ πεποίηται,
— Europe all the-rest under himself he-has-made
καὶ τῆς μὲν καλουμένης Ἀσίας ὅλης ἄρχει μέχρις Ἰνδῶν· 37
and of-the indeed called Asia whole he-rules as-far-as Indians
πολλοὺς δὲ καὶ αὐτῶν φασιν ὑπακούειν· τῆς δὲ Λιβύης
many and also of-them they-say to-obey — and of-Libya
τοῦ πλείονος μέρους· ἐν δὲ τῇ Εὐρώπῃ Θρᾴκης καὶ
of-the greater part in and — Europe of-Thrace and

Μακεδονίας· ἁπάντων τούτων κρατεῖ· ὅθεν δὴ καὶ μέγας
of-Macedonia all these he-masters whence indeed also great
βασιλεὺς κέκληται μόνος ἐκεῖνος.
king is-called alone that-one

38 καὶ ὁ Σωκράτης εἶπεν, Ἀλλ' οὐδὲ τοῦτο οἶδα ὅλως
and — Socrates said but not-even this I-know at-all
γε, εἰ βασιλεύς ἐστι τὴν ἀρχὴν οὐδεμιᾶς πόλεως
at-least whether king he-is the first(-place) of-any city
ἢ κώμης. Σὺ ἄρα, εἶπε, μόνος ἀνήκοος εἶ τούτων ἃ
or village you then he-said alone uninformed are of-these-things which
πάντες ἴσασιν; Ἀκούω, ἔφη, πολλῶν λεγόντων ἃ σὺ
all know I-hear he-said of-many saying what you
λέγεις καὶ Ἑλλήνων καὶ βαρβάρων· ὃ δὲ οὐκ ἐᾷ με
say both of-Greeks and of-barbarians what but not allows me
γιγνώσκειν ὃ λέγω τοιοῦτόν ἐστιν·
to-know what I-mean such is

39 οὐκ οἶδα, ὦ ἄριστε, εἰ νομίμως καὶ δικαίως τούτων
not I-know O best whether lawfully and justly of-these
ἁπάντων προέστηκεν καὶ τοιοῦτος ὢν ὁποῖον εἴρηκα
all he-has-presided and such being as I-have-said
πολλάκις· εἰ μὲν γὰρ εὐγνώμων καὶ φιλάνθρωπος καὶ
often if indeed for gracious and humane and
νόμιμος ὢν ἐπὶ σωτηρίᾳ καὶ τῷ συμφέροντι τῶν ἀρχομένων
lawful being for safety and the advantage of-the ruled
ἐπιμελεῖται, αὐτὸς πρῶτος εὐδαίμων ὤν, καθάπερ εἶπον,
he-takes-care himself first happy being as I-said
καὶ τοῖς ἄλλοις μεταδιδοὺς τῆς αὑτοῦ εὐδαιμονίας, οὐ δίχα
and to-the others giving-a-share of-the his-own happiness not apart
θεὶς τό τε αὑτοῦ καὶ τὸ τῶν ἀρχομένων συμφέρον,
having-set the both his-own and the of-the ruled advantage
ἀλλὰ τότε χαίρων μάλιστα καὶ τότε νομίζων ἄριστα
but then rejoicing most and then thinking best

πράττειν, ὅταν ὁρᾷ καλῶς πράττοντας τοὺς ἀρχομένους,
to-fare when he-sees well faring the ruled
δυνάμει τε μέγιστός ἐστιν καὶ βασιλεὺς ἀληθῶς·
in-power both greatest he-is and king truly
εἰ δὲ φιλήδονος καὶ φιλοχρήματος καὶ ὑβριστὴς καὶ 40
if but pleasure-loving and money-loving and insolent and
παράνομος, αὐτὸν οἰόμενος αὔξειν μόνον, ὡς ἂν πλεῖστα
lawless himself thinking to-increase only as — most
μὲν χρήματα κεκτημένος, μεγίστας δὲ καὶ πλείστας
indeed money having-acquired greatest and and most
καρπούμενος ἡδονάς, ῥᾳθύμως δὲ διάγων καὶ ἀπόνως·
enjoying pleasures idly and living and without-toil
τοὺς δὲ ὑπηκόους ἅπαντας ἡγούμενος δούλους καὶ ὑπηρέτας 41
the and subjects all considering slaves and servants
τῆς αὐτοῦ τρυφῆς, οὐδὲ ποιμένος ἐπιεικοῦς ἔχων ἦθος,
of-the his-own luxury not-even of-shepherd reasonable having character
σκέπης καὶ νομῆς προνοούμενος τοῖς αὐτοῦ κτήνεσιν,
of-shelter and pasture providing for-the his-own beasts
ἔτι δὲ θῆρας ἀπαμύνων καὶ φῶρας προφυλάττων, ἀλλ᾽
further and beasts warding-off and thieves guarding-against but
αὐτὸς πρῶτος διαρπάζων τε καὶ φθείρων καὶ τοῖς ἄλλοις
himself first plundering both and destroying and to-the others
ἐπιτρέπων, καθάπερ, οἶμαι, πολεμίων λείαν, οὐκ ἄν ποτε
permitting as I-think of-enemies booty not — ever
εἴποιμι τὸν τοιοῦτον ἄρχοντα ἢ αὐτοκράτορα ἢ βασιλέα,
I-would-call the such ruler or emperor or king
πολὺ δὲ μᾶλλον τύραννον καὶ λευστῆρα, ὥς ποτε προσεῖπεν
much but rather tyrant and stoner as once addressed
ὁ Ἀπόλλων τὸν Σικυώνιον τύραννον, εἰ καὶ πολλὰς μὲν
τοῦτο ποιεῖν; καὶ ὁ Ἀλέξανδρος ἀνείθη τε καὶ ἐγέλασε
this to-do and — Alexander relaxed both and laughed
καὶ ἔφη, Τὰ περὶ τὸν χρησμόν, ὦ Διόγενες, λέγεις.
and said the-things about the oracle O Diogenes you-mean
ὁ δὲ στρυφνῷ τῷ προσώπῳ, Ποῖον, εἶπε, χρησμόν; οὐκ 72
he but with-sour the face what said oracle not
οἶδα ἔγωγε, πλὴν ὅτι αἰπόλος ἦν ὁ Ἀρχέλαος. ἀλλ' ἂν
know I except that goatherd was — Archelaus but if
ἀπαλλαγῇς τοῦ τύφου καὶ τῶν νῦν πραγμάτων, ἔσῃ
you-get-rid-of the vanity and the present affairs you-will-be
βασιλεύς, οὐ λόγῳ τυχόν, ἀλλ' ἔργῳ· καὶ κρατήσεις οὐ
king not in-word perhaps but in-deed and you-will-master not
μόνον τῶν ἀνδρῶν ἁπάντων, ἀλλὰ καὶ τῶν γυναικῶν,
only the men all but also the women
ὥσπερ ὁ Ἡρακλῆς, ὅν σου φῂς πρόγονον εἶναι.
as — Heracles whom your you-say ancestor to-be
καὶ ὅς, Ποίων, ἔφη, γυναικῶν; ἢ δῆλον, ἔφη, ὅτι τῶν 73
and he of-what he-said women or clear he-said that the
Ἀμαζόνων λέγεις; ἀλλ' ἐκείνων, ἦ δ' ὅς, οὐδὲν ἦν
Amazons you-mean but of-those said and he nothing was
κρατῆσαι χαλεπόν· ἑτέρου δέ τινος γένους, δεινοῦ καὶ
to-master difficult of-another but some race terrible and
ἀγρίου παντελῶς. ἢ οὐκ ἀκήκοας τὸν Λιβυκὸν μῦθον;
savage altogether or not have-you-heard the Libyan myth
καὶ ὃς οὐκ ἔφη ἀκηκοέναι. διηγεῖτο δὴ μετὰ ταῦτα 74
and he not said to-have-heard he-narrated indeed after these-things
προθύμως καὶ ἡδέως, βουλόμενος αὐτὸν παραμυθήσασθαι,
eagerly and pleasantly wishing him to-console
καθάπερ αἱ τίτθαι τὰ παιδία, ἐπειδὰν αὐτοῖς πληγὰς
as the nurses the children when to-them blows

ἐμβάλωσι, παραμυθούμεναι καὶ χαριζόμεναι μῦθον αὐτοῖς
they-have-given consoling and gratifying myth to-them
ὕστερον διηγήσαντο.
afterward narrate

75 Εὖ δὲ ἴσθι, ἔφη, ὅτι οὐ πρότερον ἔσῃ βασιλεύς, πρὶν ἂν
well and know he-said that not sooner you-will-be king before —
ἱλάσῃ τὸν αὑτοῦ δαίμονα καὶ θεραπεύσας ὡς δεῖ
you-propitiate the your-own spirit and having-served as it-is-needful
ἀποδείξῃς ἀρχικόν τε καὶ ἐλευθέριον καὶ βασιλικόν, ἀλλὰ
you-show fit-to-rule both and free and kingly but
μή, ὡς νῦν ἔχεις, δοῦλον καὶ ἀνελεύθερον καὶ πονηρόν.
not as now you-have slavish and illiberal and wicked

76 ἐνταῦθα δὴ ὁ Ἀλέξανδρος ἐκπεπληγμένος τοῦ ἀνθρώπου
then indeed — Alexander struck-with of-the man
τὸ ἀνδρεῖον καὶ τὸ ἀδεές, νομίσας πλέον τι τῶν
the manliness and the fearlessness having-thought more something than-the
ἄλλων ἐπίστασθαι αὐτόν, παντοδαπὸς ἦν ἱκετεύων μὴ
others to-know him all-manner-of was supplicating not
φθονῆσαι μηδένα τρόπον, ἀλλὰ φράσαι τίς ἔστιν ὁ
to-begrudge in-any way but to-tell who is the
δαίμων αὐτοῦ καὶ πῶς χρὴ ἱλάσασθαι αὐτόν. ἤλπιζε
spirit his and how it-is-needful to-propitiate it he-hoped
γὰρ ὄνομά τι ἀκούσεσθαι δαίμονος καὶ θυσίας τινὰς
for name some to-be-going-to-hear of-spirit and sacrifices some
ἢ καθαρμούς, οὓς δεῖ ἐπιτελέσαι.
or purifications which it-is-needful to-perform

77 κατιδὼν οὖν αὐτὸν ὁ Διογένης τεθορυβημένον καὶ σφόδρα
having-seen then him — Diogenes disturbed and very
τῇ ψυχῇ μετέωρον, προσέπαιζε καὶ περιεῖλκεν, εἴ πως
in-the soul agitated he-jested and pulled-about if somehow

δύναιτο κινηθεὶς ἀπὸ τοῦ τύφου καὶ τῆς δόξης μικρόν
he-could having-been-moved from the vanity and the glory little
τι ἀνανῆψαι.
some to-become-sober
καὶ γὰρ δὴ ἠσθάνετο αὐτὸν νῦν μὲν ἡδόμενον, νῦν δὲ 78
and for indeed he-perceived him now indeed pleased now and
λυπούμενον ἐν τῷ αὐτῷ καὶ τὴν ψυχὴν αὐτοῦ ἄκριτον
grieved at the same-time and the soul his unsettled
οὖσαν, ὥσπερ τὸν ἀέρα ἐν ταῖς τροπαῖς, ὅταν ἐκ τοῦ
being as the air in the solstices when from the
αὐτοῦ νέφους ὑῇ τε καὶ λάμπῃ ὁ ἥλιος. συνίει δὲ
same cloud it-rains both and shines the sun he-understood and
ὅτι καὶ τοῦ τρόπου κατεφρόνει, ἐν ᾧ διελέγετο πρὸς
that also the manner he-despised in which he-conversed with
αὐτόν, ἅτε οὐδέποτε ἀκηκοὼς δεινοῦ λέγειν ἀνδρός, ἀλλὰ
him as never having-heard clever to-speak man but
τοὺς τῶν σοφιστῶν θαυμάζων λόγους, ὡς ὑψηλούς τε
the of-the sophists admiring words as lofty both
καὶ μεγαλοπρεπεῖς.
and magnificent
βουλόμενος οὖν χαρίσασθαι αὐτῷ, ἅμα τε ἐπιδεῖξαι ὅτι 79
wishing then to-gratify him at-once both to-show that
οὐκ ἀδύνατός ἐστιν ὥσπερ ἵππον εὐμαθῆ καὶ πειθόμενον,
not incapable he-is like horse docile and obedient
ὅταν αὐτῷ δοκῇ, τὸν λόγον ἐπᾶραι, λέγει πρὸς αὐτὸν
when to-him it-seems the speech to-raise he-speaks to him
οὕτως περὶ δαιμόνων, ὅτι οὐκ εἰσὶν ἔξωθεν τῶν ἀνθρώπων
thus about spirits that not are outside of-the men
οἱ πονηροὶ καὶ ἀγαθοὶ δαίμονες, οἱ τὰς συμφορὰς καὶ
the wicked and good spirits those the misfortunes and
τὰς εὐτυχίας φέροντες αὐτοῖς,
the good-fortunes bringing to-them

80 ὁ δὲ ἴδιος ἑκάστου νοῦς, οὗτός ἐστι δαίμων τοῦ ἔχοντος
the but own of-each mind this is spirit of-the having
ἀνδρός, ἀγαθὸς μὲν ὁ τοῦ φρονίμου καὶ ἀγαθοῦ δαίμων,
man good indeed the(-one) of-the prudent and good spirit
πονηρὸς δὲ ὁ τοῦ πονηροῦ, ὡσαύτως δὲ ἐλεύθερος
wicked and the(-one) of-the wicked likewise and free
μὲν ὁ τοῦ ἐλευθέρου, δοῦλος δὲ ὁ τοῦ δούλου,
indeed the(-one) of-the free slave and the(-one) of-the slave
καὶ βασιλικὸς μὲν ὁ τοῦ βασιλικοῦ καὶ μεγαλόφρονος,
and kingly indeed the(-one) of-the kingly and great-minded
ταπεινὸς δὲ ὁ τοῦ ταπεινοῦ καὶ ἀγεννοῦς.
humble and the(-one) of-the humble and ignoble

81 ἵνα δέ, ἔφη, μὴ καθ' ἓν ἕκαστον ἐπιὼν πολύ τι
so-that and he-said not by one each going-over much some
πλῆθος ἐπάγωμαι λόγων, ἐρῶ τοὺς κοινοτάτους καὶ
multitude I-may-bring-in of-words I-will-tell the most-common and
φανερωτάτους δαίμονας, ὑφ' ὧν ἅπαντες, ὡς εἰπεῖν,
most-evident spirits by whom all as to-say
ἐλαύνονται τύραννοι καὶ ἰδιῶται καὶ πλούσιοι καὶ πένητες
are-driven tyrants and private-men and rich and poor
καὶ ὅλα ἔθνη καὶ πόλεις. ἐνταῦθα δὴ πάντα ἀνεὶς
and whole nations and cities then indeed every having-let-out
κάλων μάλα ὑψηλῶς καὶ ἀδεῶς τὸν ἑξῆς διεπέραινε λόγον.
rope very loftily and fearlessly the next carried-through speech

82 Πολλαὶ μέν, ὦ παῖ Φιλίππου, περὶ πάντα κακίαι τε καὶ
many indeed O son of-Philip about all-things vices both and
διαφθοραὶ τῶν ἀθλίων ἀνθρώπων, καὶ τοσαῦται σχεδὸν
corruptions of-the wretched men and so-many nearly
ὅσας οὐ δυνατὸν διελθεῖν. τῷ ὄντι γὰρ κατὰ τὸν
as-many-as not possible to-go-through in-the being for according-to the
ποιητὴν
poet

οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος
not is anything terrible so to-say word
οὐδὲ πάθος οὐδὲ συμφορὰν θεήλατον,
nor suffering nor misfortune god-sent
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
of-which not — would-take-up burden of-man nature

τριῶν δὲ ἐπικρατούντων, ὡς ἔπος εἰπεῖν, βίων, εἰς 83
three and prevailing as word to-say lives into
οὓς μάλιστα ἐμπίπτουσιν οἱ πολλοί, μὰ Δί' οὐ μετὰ
which most fall the many by Zeus not with
λογισμοῦ σκεψάμενοι καὶ δοκιμάσαντες, ἀλόγῳ δὲ ὁρμῇ
reasoning having-considered and having-tested by-irrational but impulse
καὶ τύχῃ προσενεχθέντες, τοσούτους φατέον εἶναι καὶ
and chance having-been-borne-toward so-many one-must-say to-be also
δαίμονας, οἷς συνέπονται καὶ λατρεύουσιν ὁ πολὺς καὶ
spirits whom follow and serve the great and
ἀμαθὴς ὅμιλος, ἄλλοι ἄλλῳ, καθάπερ ἡγεμόνι πονηρῷ
ignorant throng others another as leader wicked
καὶ μαινομένῳ πονηρὸς καὶ ἀσελγὴς θίασος.
and raving wicked and wanton band
ἔστι δὲ τούτων ὧν ἔφην βίων ὁ μὲν ἡδυπαθὴς 84
is and of-these which I-said lives the(-one) indeed pleasure-living
καὶ τρυφερὸς περὶ τὰς τοῦ σώματος ἡδονάς, ὁ
and luxurious about the of-the body pleasures the(-other)
δ' αὖ φιλοχρήματος καὶ φιλόπλουτος, ὁ δὲ τρίτος
and in-turn money-loving and wealth-loving the and third
ἀμφοτέρων ἐπιφανέστερός τε καὶ μᾶλλον τεταραγμένος,
than-both more-conspicuous both and more disturbed
ὁ φιλότιμος καὶ φιλόδοξος, ἐκδηλοτέραν καὶ σφοδροτέραν
the honor-loving and glory-loving more-evident and more-violent

ἐπιδεικνύμενος τὴν ταραχὴν καὶ τὴν μανίαν, ἐξαπατῶν
displaying the confusion and the madness deceiving
αὑτόν, ὡς καλοῦ δή τινος ἐραστήν.
himself as of-noble indeed some lover
85 φέρε οὖν καθάπερ οἱ κομψοὶ τῶν δημιουργῶν ἐπὶ πάντα
come then as the clever of-the craftsmen to all
ἔμβραχυ φέρουσι τὴν αὑτῶν ἐπίνοιαν καὶ τέχνην, οὐ
in-short bring the their-own conception and art not
μόνον τὰς τῶν θεῶν ἀπομιμούμενοι φύσεις ἀνθρωπίνοις
only the of-the gods imitating natures with-human
εἴδεσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον, ποταμούς τε
forms but also of-the others each rivers both
ἐνίοτε γράφοντες ἀνδράσιν ὁμοίους καὶ κρήνας ἔν τισι
sometimes painting to-men like and springs in some
γυναικείοις εἴδεσι, νήσους τε καὶ πόλεις καὶ τὰ ἄλλα
womanly forms islands both and cities and the other-things
μικροῦ δεῖν ξύμπαντα, ὁποῖον καὶ Ὅμηρος ἐτόλμησεν
little to-lack all such-as also Homer dared
ἐπιδεῖξαι Σκάμανδρον φθεγγόμενον ὑπὸ τῇ δίνῃ,
to-show Scamander speaking under the eddy
86 κἀκεῖνοι φωνὰς μὲν οὐκ ἔχουσι προσθεῖναι τοῖς εἰδώλοις,
and-those voices indeed not they-have to-add to-the images
εἴδη δὲ οἰκεῖα καὶ σημεῖα ἀπὸ τῆς φύσεως, οἷον τοὺς
forms but appropriate and signs from the nature such-as the
ποταμοὺς κατακειμένους γυμνοὺς τὸ πλέον, γένειον πολὺ
rivers reclining naked the more beard much
καθεικότας, μυρίκην ἢ κάλαμον ἐστεφανωμένους·
having-let-down with-tamarisk or reed crowned
87 οὐκοῦν καὶ ἡμεῖς μὴ χείρους μηδὲ φαυλότεροι περὶ
therefore also we not worse nor poorer about
τοὺς λόγους φανῶμεν ἢ ἐκεῖνοι περὶ τὰς αὑτῶν
the words let-us-appear than those about the their-own

τέχνας, τῷ πλάττειν καὶ ἀφομοιοῦν τοὺς τρόπους
arts in-the to-mold and to-liken the characters
τοῦ τριπλοῦ δαίμονος τῶν τριῶν βίων, τὴν ἐναντίαν
of-the triple spirit of-the three lives the opposite
ἕξιν καὶ ἀντίστροφον ἐπιδεικνύμενοι τῆς τῶν λεγομένων
habit and counterpart showing of-the of-the so-called
φυσιογνωμόνων ἐμπειρίας καὶ μαντικῆς.
physiognomists skill and divination
οἱ μὲν γὰρ ἀπὸ τῆς μορφῆς καὶ τοῦ εἴδους τὸ ἦθος 88
they indeed for from the shape and the form the character
γιγνώσκουσι καὶ ἀπαγγέλλουσιν, ἡμεῖς δὲ ἀπὸ τῶν ἠθῶν
know and report we but from the characters
καὶ τῶν ἔργων χαρακτῆρα καὶ μορφὴν ἀξίαν ἐκείνων
and the deeds stamp and shape worthy of-them
σπάσωμεν, εἰ ἄρα μᾶλλον ἅψασθαι δυνησόμεθα τῶν
let-us-draw if then more to-touch we-shall-be-able of-the
πολλῶν καὶ φαυλοτέρων·
many and baser
πρὸς τὸ ἀποδεῖξαι τὴν τῶν βίων ἀτοπίαν οὐδὲν ἄσχημον 89
toward the to-show the of-the lives absurdity nothing unseemly
ὂν οὐδὲ νεμεσητὸν καὶ ποιηταῖς παραβαλλομένους καὶ
being nor blameworthy also to-poets comparing-ourselves and
χειροτέχναις καὶ καθαρταῖς, εἰ δέοι, σπεύδειν πανταχόθεν
to-craftsmen and to-purifiers if one-should to-hasten from-everywhere
εἰκόνας καὶ παραδείγματα πορίζοντας, ἄν πως ἰσχύσωμεν
images and examples providing if somehow we-may-be-able
ἀποτρέψαι κακίας καὶ ἀπάτης καὶ πονηρῶν ἐπιθυμιῶν, εἰς
to-turn-away from-vice and deceit and wicked desires into
ἀρετῆς δὲ φιλίαν προαγαγεῖν καὶ ἔρωτα ζωῆς ἀμείνονος·
of-virtue and love to-lead-forward and desire of-life better

90 ἢ ὡς εἰώθασιν ἔνιοι τῶν περὶ τὰς τελετὰς καὶ τὰ
or as are-wont some of-those about the rites and the
καθάρσια, μῆνιν Ἑκάτης ἱλασκόμενοί τε καὶ ἐξάντη
purifications wrath of-Hecate propitiating both and freed
φάσκοντες ποιήσειν. ἔπειτα οἶμαι φάσματα πολλὰ καὶ
claiming to-be-going-to-make then I-think apparitions many and
ποικίλα πρὸ τῶν καθαρμῶν ἐξηγούμενοι καὶ ἐπιδεικνύντες,
various before the purifications explaining and showing
ἅ φασιν ἐπιπέμπειν χολουμένην τὴν θεόν.
which they-say to-send angered the goddess

V · THE SPIRITS OF WEALTH AND PLEASURE

The money-loving spirit is sullen, squalid, and unsmiling, loving neither children nor country and counting the gods worth nothing unless they show him treasures or a kinsman's death; suspicious of all, it grasps at everything, drawing in not only iron, as a magnet does, but bronze, lead, and even sand, prizing silver above all and held back only by fear of punishment; many so-called kings are no better than hucksters and brothel-keepers. The spirit of pleasure craves every scent, sound, touch, and soft bath, and above all the fevered madness of lust; it keeps its slaves wallowing in wantonness while their means last or leaves them poor and craving, makes some live as women, and sends the boldest into public life as generals and demagogues. Drunk, garlanded, and led by shameless women, it follows Deceit into the mire, and the souls it enslaves live so not by choice but swept along.

91 εἶεν· ὁ μὲν δὴ φιλοχρήματος δαίμων χρυσοῦ καὶ ἀργύρου
well the indeed then money-loving spirit of-gold and of-silver
καὶ γῆς καὶ βοσκημάτων καὶ συνοικιῶν καὶ πάσης
and of-land and of-flocks and of-tenements and of-all
κτήσεως ἐραστής. ἆρα οὐκ ἂν σκυθρωπός τε καὶ συννεφὴς
possession lover then not — sullen both and clouded
ἰδεῖν ἐν σχήματι ταπεινῷ καὶ ἀγεννεῖ πλάττοιτο ὑπὸ
to-see in posture humble and ignoble he-would-be-molded by

δημιουργοῦ μὴ φαύλου τὴν τέχνην; αὐχμηρὸς καὶ ῥυπῶν,
craftsman not poor in-the art squalid and dirty
οὔτε παῖδας ἢ γονέας οὔτε πατρίδα φιλῶν, ἢ συγγένειαν
neither children or parents nor fatherland loving or kinship
ἄλλο τι νομίζων ἢ τὰ χρήματα, τοὺς δὲ θεοὺς
other something considering than the money the and gods
πλέον οὐδὲν εἶναι λογιζόμενος, ὅ τι μὴ πολλοὺς αὐτῷ
more nothing to-be reckoning what ever not many to-him
μηδὲ μεγάλους θησαυροὺς παραδεικνύουσιν ἢ θανάτους
nor great treasures they-show or deaths
οἰκείων τινῶν καὶ συγγενῶν, ὅπως ἔχοι κληρονομεῖν,
of-relatives some and kinsmen so-that he-might-be-able to-inherit
τὰς δὲ ἑορτὰς ζημίαν ἄλλως ἡγούμενος καὶ ματαίαν
the and festivals loss otherwise considering and vain
δαπάνην, ἀγέλαστος καὶ ἀμειδίατος,
expense unlaughing and unsmiling
ὑφορώμενος ἅπαντας καὶ βλαβεροὺς ἡγούμενος καὶ ἀπιστῶν 92
suspecting all and harmful considering and distrusting
πᾶσιν, ἁρπακτικὸν βλέπων, ἀεὶ κινῶν τοὺς δακτύλους, ἤτοι
all rapacious looking always moving the fingers either
τὴν αὑτοῦ λογιζόμενος οὐσίαν ἢ τῶν ἄλλων τινός, τἆλλα δὲ
the his-own reckoning substance or of-the others someone's in-the-rest and
ἀναίσθητος καὶ ἀμαθής, παιδείας καὶ γραμμάτων καταγελῶν,
insensible and ignorant of-education and letters mocking
πλὴν ὅσον περὶ λογισμοὺς καὶ συμβόλαια, τυφλοῦ δικαίως 93
except as-much-as about calculations and contracts of-blind justly
καὶ λεγομένου καὶ γραφομένου τοῦ πλούτου τυφλότερος
both called and painted than-the wealth blinder
ἐραστής, περὶ πάντα λυττῶν κτήματα καὶ οὐδὲν ἀπόβλητον
lover about all raving possessions and nothing to-be-thrown-away
ἡγούμενος, οὐχ ὥσπερ τὴν μαγνῆτιν λίθον ἕλκειν φασὶ
considering not as the magnet stone to-draw they-say

πρὸς αὑτὴν τὸν σίδηρον, ἀλλὰ καὶ χαλκὸν καὶ μόλυβδον
to itself the iron but also bronze and lead
προσαγόμενος, κἂν ψάμμον ἢ λίθον διδῷ τις, πανταχῇ
attracting even-if sand or stone gives anyone everywhere
καὶ περὶ πάντα σχεδόν τι τὸ ἔχειν τοῦ μὴ ἔχειν
and about all nearly somewhat the having than-the not having
λυσιτελέστερόν τε καὶ ἄμεινον ἡγούμενος, μάλιστα δὲ περὶ
more-profitable both and better considering most but about
τὴν τοῦ ἀργυρίου κτῆσιν ἔκφρων καὶ συντεταμένος, ὅτι
the of-the silver acquisition beside-himself and strained because
δὴ τάχιστα κἀδαπανώτατα πρόεισι, σὺν ἡμέρᾳ καὶ νυκτὶ
indeed most-quickly and-most-cheaply it-goes-forward with day and night
προβαῖνον καὶ φθάνον οἶμαι τὰς τῆς σελήνης περιόδους,
advancing and outrunning I-think the of-the moon cycles
94 τὸ δὲ τῆς ἀπεχθείας καὶ τὸ τοῦ μίσους καὶ τῶν
the but of-the hatred and the of-the loathing and of-the
βλασφημιῶν οὐδαμῇ λογιζόμενος, ἔτι δὲ τῇ μὲν
abuses nowise reckoning further and to-the indeed
ἄλλῃ κτήσει καλλωπισμόν τινα προσεῖναι καὶ διατριβὴν
other possession adornment some to-belong and pastime
ἡγούμενος, τὸ δὲ ἀργύριον ὡς ἐν βραχυτάτῳ συνειληφέναι
considering the but silver as in briefest to-have-comprised
τὴν τοῦ πλούτου δύναμιν.
the of-the wealth power
95 τοῦτο οὖν διώκει καὶ ζητεῖ πανταχόθεν, οὐδέν τι
this then he-pursues and seeks from-everywhere not at-all
μεταστρεφόμενος, οὔτ' εἰ μετ' αἰσχύνης οὔτ' εἰ μετ' ἀδικίας
turning-aside neither if with shame nor if with injustice
γίγνοιτο, πλὴν ὅσον τὰς κολάσεις ὑφορώμενος ὁδοιδόκων
it-should-come except as-far-as the punishments suspecting of-highwaymen
δειλίᾳ κρατηθείς, κυνὸς ἀχρήστου ψυχὴν ἔχων, τὰ
by-cowardice mastered of-dog useless soul having the(-things)

μὲν ἁρπάζοντος, ἐὰν ἐλπίσῃ λήσεσθαι, τοῖς
indeed snatching if he-hopes to-be-going-to-escape-notice at-the(-others)
δὲ ἐπεμβλέποντος καὶ ἄκοντος ἀπεχομένου διὰ τοὺς
and looking and unwillingly abstaining because-of the
ἐφεστηκότας φύλακας.
set-over guards
ἔστω δὴ βραχὺς ἰδεῖν, δουλοπρεπής, ἄγρυπνος, οὐδέποτε 96
let-him-be indeed short to-see slavish sleepless never
μειδιῶν, ἀεί τῳ λοιδορούμενος καὶ μαχόμενος,
smiling always with-someone wrangling and fighting
πορνοβοσκῷ μάλιστα προσεοικὼς τό τε σχῆμα καὶ
to-brothel-keeper most resembling the both bearing and
τὸν τρόπον ἀναιδεῖ καὶ γλίσχρῳ, βαπτὸν ἀμπεχομένῳ
the manner shameless and greedy dyed wearing
τριβώνιον μιᾶς τινος τῶν ἑταιρῶν ὧν ἴσμεν, τοὺς αὑτοῦ
threadbare-cloak of-one some of-the courtesans whom we-know the his-own
φίλους τε καὶ ἑταίρους,
friends both and companions
μᾶλλον δὲ δούλους καὶ ὑπηρέτας λωβώμενος καὶ 97
rather and slaves and servants maltreating and
καταισχύνων πάντα τρόπον, ἐάν τε ἐν ἰδιώτου
disgracing every way whether both in of-private-man
σχήματι λάβῃ τινὰς ἐάν τε ἐν βασιλέως.
guise he-takes some or both in of-king
ἢ οὐ πολλοὺς τῶν καλουμένων βασιλέων ἰδεῖν ἔστι 98
or not many of-the so-called kings to-see is-it-possible
καπήλους καὶ τελώνας καὶ πορνοβοσκούς; ἀλλὰ Δρόμωνα
hucksters and tax-collectors and brothel-keepers but Dromon
μὲν καὶ Σάραμβον, ὅτι ἐν Ἀθήναις καπηλεύουσι καὶ
indeed and Sarambus because in Athens they-are-hucksters and
ὑπὸ Ἀθηναίων τοῦτο ἀκούουσι τὸ ὄνομα, δικαίως φαμὲν
by Athenians this hear the name justly we-say

ἀκούειν, Δαρεῖον δὲ τὸν πρότερον, ὅτι ἐν Βαβυλῶνι
to-hear Darius but the earlier because in Babylon
καὶ Σούσοις ἐκαπήλευε, καὶ Πέρσαι αὐτὸν ἔτι καὶ νῦν
and Susa he-played-the-huckster and Persians him still also now
καλοῦσι κάπηλον, οὐ δικαίως κεκλῆσθαι; ἴδιόν γε μὴν
call huckster not justly to-have-been-called peculiar at-least indeed
τούτῳ συμβέβηκε παρὰ τοὺς ἄλλους δαίμονας·
to-this-one has-happened compared-with the other spirits
99 ἐνίοτε μὲν γὰρ ἄρχει καὶ κρατεῖ τῆς ψυχῆς, ἐνίοτε δὲ
sometimes indeed for he-rules and masters the soul sometimes and
ἐκείνοις συνέπεται διὰ τὸ πάσης ἐπιθυμίας καὶ σπουδῆς
those follows because-of the of-every desire and pursuit
ὑπηρέτην τε καὶ διάκονον ἀπροφάσιστον εἶναι τὸν πλοῦτον.
servant both and minister unhesitating to-be the wealth
100 ἀλλ᾽ ἐγὼ λέγω νῦν τὸν αὐτὸν ἡγούμενον καὶ προεστηκότα
but I mean now the same leading and presiding-over
τῆς τοῦ δυστυχοῦς ἀνθρώπου διανοίας, οὔτε ἐφ᾽ ἡδονήν
the of-the unfortunate man mind neither to pleasure
τινα οὔτε εἰς δόξαν ἀναφέροντα τὴν τῶν χρημάτων
any nor to glory referring the of-the money
κτῆσιν, οὐδὲ ὡς ἀναλώσοντα καὶ χρησόμενον ξυνάγοντα,
acquisition nor as going-to-spend and going-to-use collecting
ἀνέξοδον δὲ καὶ ἀχρεῖον φυλάττοντα τὸν πλοῦτον τῷ
without-outlet but and useless keeping the wealth in-the
ὄντι, κατάκλειστον ἔν τισι κρυπτοῖς καὶ ἀφεγγέσι θαλάμοις.
being locked-up in some hidden and lightless chambers
101 εἶεν· ὁ δὲ δὴ δεύτερος ἀνήρ τε καὶ δαίμων ἐκείνου
well the but indeed second man both and spirit of-that
τοῦ ἀνδρός, ὁ τὰ τῆς ἡδονῆς ἀναφαίνων ὄργια καὶ τὴν
the man the the of-the pleasure displaying rites and the
θεὸν ταύτην θαυμάζων καὶ προτιμῶν, ἀτεχνῶς γυναικείαν
goddess this admiring and preferring simply womanish

θεόν, ποικίλος καὶ πολυειδὴς περί τε ὀσμὰς καὶ γεύσεις
goddess variegated and many-formed about both smells and tastes
ἀπλήρωτος, ἔτι δὲ οἶμαι περὶ πάντα μὲν ὁράματα,
insatiable further and I-think about all indeed sights
πάντα δὲ ἀκούσματα τὰ πρὸς ἡδονήν τινα φέροντα,
all and sounds the to pleasure some bringing
πάσας δὲ ἁφὰς προσηνεῖς τε καὶ μαλακὰς λουτρῶν τε
all and touches soothing both and soft of-baths both
ὁσημέραι θερμῶν καὶ χρίσεων οὐ κάματον ἰωμένων,
daily hot and anointings not weariness curing
πρὸς δὲ αὖ τούτοις ἐσθήτων τε μαλακῶν ἕλξεις καὶ 102
besides and in-turn these of-clothing both soft trailings and
κατακλίσεις ἠσκημένας καὶ διακονίας ἀκριβεῖς καθ' ἑκάστην
couches elaborate and services exact for each
ἐπιθυμίαν τε καὶ χρείαν, περὶ ταῦτα πάντα δεινῶς
desire both and need about these-things all terribly
ἐπτοημένος, μάλιστα μέντοι καὶ ἀκρατέστατα περὶ τὴν τῶν
excited most however and most-uncontrollably about the of-the
ἀφροδισίων ὀξεῖαν καὶ διάπυρον μανίαν θηλυκῶν τε καὶ
sexual-pleasures sharp and fiery madness of-female both and
ἀρρενικῶν μίξεων καὶ ἔτι πλειόνων ἀρρήτων καὶ ἀνωνύμων
male intercourse and further more unspeakable and nameless
αἰσχρουργιῶν, ἐπὶ πάντα ὁμοίως τὰ τοιαῦτα φερόμενος
obscenities to all alike the such borne
καὶ ἄγων, οὐδὲν ἀπώμοτον οὐδὲ ἄπρακτον ποιούμενος.
and leading nothing forsworn nor undone making
νῦν γὰρ δὴ ἕνα τοῦτον τίθεμεν τὸν ἁπάσας τὰς 103
now for indeed one this-one we-set the all the
τοιαύτας παρειληφότα νόσους καὶ ἀκρασίας τῆς ψυχῆς,
such having-taken-over diseases and incontinences of-the soul
ἵνα μὴ πολύν τινα ἀθροίσωμεν ἑσμὸν μοιχικῶν τινων
so-that not great some we-may-collect swarm of-adulterous some

δαιμονίων καὶ φιλόψων καὶ φιλοίνων καὶ ἄλλων δὴ
spirits and gluttonous and wine-loving and others indeed
μυρίων, ἀλλ᾽ ἁπλῶς ἕνα δαίμονα τιθῶμεν τὸν ἀκόλαστον
countless but simply one spirit let-us-set the licentious
καὶ δεδουλωμένον ὑφ᾽ ἡδονῆς,
and enslaved by pleasure
104 ἐὰν μὲν ἐπιρρέῃ ποθὲν ἀνελλιπὲς τὸ τῆς χορηγίας,
if indeed flows-in from-somewhere unfailing the of-the supply
χρημάτων βασιλικῶν ἤ τινος μεγάλης ἰδιωτικῆς ὑπούσης
of-money royal or some great private being-present
οὐσίας, ἐν πολλῇ καὶ ἀφθόνῳ κυλινδούμενον ἀσελγείᾳ
substance in much and abundant rolling wantonness
μέχρι γήρως· εἰ δὲ μή, ταχὺ μάλα ἐξαναλώσαντα τὰ
until old-age if but not quickly very having-spent-out the
παρόντα, πένητα ἀκρατῆ καὶ ἀκόλαστον ἐν σπάνει καὶ
present-things poor incontinent and licentious in want and
ἱμέρῳ δεινῶς τῶν ἐπιθυμιῶν λειπόμενον.
longing terribly of-the desires left-behind
105 ἔτι δέ τινας οὗτος τῶν ὑπ᾽ αὐτοῦ κρατουμένων εἰς
further and some this-one of-those by him mastered into
γυναικεῖον μετέβαλε βίον τε καὶ σχῆμα, ὥσπερ οἱ μῦθοί
womanish changed life both and dress as the myths
φασι τοὺς μεταβαλόντας ἐξ ἀνθρώπων εἰς ὄρνιθας ἢ
say those having-changed from men into birds or
θηρία, ἐὰν τύχωσι τοιαύτης ἡττηθέντες ἡδονῆς·
beasts if they-happen by-such having-been-overcome pleasure
106 πάλιν δὲ κἀνταῦθα διττὴ χορηγία πέφηνεν. ὁ μὲν γὰρ
again and here-too twofold supply has-appeared the indeed for
ἀσθενής τε καὶ ἄτολμος ἐκ τούτου τοῦ γένους δαίμων
weak both and timid from this the race spirit
ἐπί τε τὰς γυναικείας νόσους καὶ ἄλλας αἰσχύνας,
to both the womanish diseases and other shames

ὁπόσαις πρόσεστι ζημία καὶ ὀνείδη, προσάγει ῥᾳδίως·
to-as-many-as is-attached penalty and reproaches leads easily
ὅπου δὲ τιμωρίαι πρόσεισι, θανάτοις ἢ δεσμοῖς κολάζουσαι
where but punishments are-attached with-deaths or bonds punishing
τοὺς ἐξαμαρτάνοντας ἢ χρημάτων πολλῶν ἐκτίσεσιν, οὐ
those erring or of-money much payments not
πάνυ τι πρὸς ταῦτα ἐφίησιν.
at-all somewhat to these-things lets-go
ὁ δὲ ἀτενέστερός τε καὶ θρασύτερος πάντα ἁπλῶς 107
the but more-intent both and bolder all simply
ὑπερβαίνειν ἀναγκάζει τά τε ἀνθρώπινα καὶ τὰ θεῖα. καὶ
to-overstep compels the both human and the divine and
ὁ μὲν ἀσθενής τε καὶ ἄτολμος ἔνθα προσθέμενος τὴν
the indeed weak both and timid where having-attached-himself the
τοιαύτην αἰσχύνην ὁμολογεῖ οὐδενὸς ἀνδρείου πράγματος
such shame confesses no manly deed
ἁπτόμενος, ἀλλὰ παραχωρῶν τῶν κοινῶν καὶ πολιτικῶν
touching but yielding the public and political-things
τοῖς ἄμεινον βεβιωκόσιν·
to-those better having-lived
ὁ δὲ ἰταμὸς καὶ ἄτρεστος, πολλὰς ὕβρεις τε καὶ αἰσχύνας 108
the but reckless and fearless many insults both and shames
ὑπομείνας, ὀστράκου, φασί, μεταπεσόντος, στρατηγὸς
having-endured of-the-shell they-say having-turned-over general
ἢ δημαγωγὸς πέφηνεν ὀξὺ καὶ διάτορον βοῶν, ὥσπερ
or demagogue has-appeared shrill and piercing shouting like
οἱ τῶν δραμάτων ὑποκριταὶ ἀπορρίψας μεταξὺ τὴν
the of-the dramas actors having-thrown-off meanwhile the
γυναικείαν στολήν, ἔπειτα στρατιώτου τινὸς ἢ ῥήτορος
womanish robe then of-soldier some or orator

στολὴν ἁρπάσας περιέρχεται συκοφάντης καὶ φοβερός,
robe having-snatched goes-about informer and fearsome
ἀντίον πᾶσι βλέπων.
against all looking

109 ἆρ᾽ οὖν ἀρρενωπόν τι καὶ σεμνὸν εἶδος τῷ τοιούτῳ
then then manly some and august form to-the such
δαίμονι πρέπει ἢ μᾶλλον ὑγρόν τε καὶ μαλθακόν;
spirit befits or rather languid both and soft
οὐκοῦν τὸ οἰκεῖον αὐτῷ σχῆμα προσθήσομεν, οὐχ ὃ
therefore the proper to-him guise we-will-add not which
πλαττόμενος ἐνδύεται πολλάκις·
pretending he-puts-on often

110 προΐτω γε μὴν νὴ Δία τρυφῶν τε καὶ μύρου
let-him-come-forward at-least indeed by Zeus luxuriating both and of-perfume
καὶ οἴνου ἀποπνέων ἐν κροκωτῷ μετὰ πολλοῦ καὶ ἀτάκτου
and wine smelling in saffron-robe with much and disorderly
γέλωτος, μεθύοντι προσεοικὼς κωμάζοντι μεθ᾽ ἡμέραν
laughter to-drunkard resembling reveling by day
ἀσελγῆ κῶμον, στεφάνους τινὰς ἐστεφανωμένος ἑώλους τήν
wanton revel garlands some crowned stale the
τε κεφαλὴν καὶ περὶ τῷ τραχήλῳ, καὶ πλάγιος φερόμενος,
both head and about the neck and sideways borne
ὀρχούμενός τε καὶ ᾄδων θῆλυ καὶ ἄμουσον μέλος.
dancing both and singing effeminate and unmusical song

111 ἀγέσθω δὲ ὑπὸ γυναικῶν ἀναισχύντων καὶ ἀκολάστων,
let-him-be-led and by women shameless and licentious
ἄλλων ἐπ᾽ ἄλλα ἑλκουσῶν, μηδεμίαν αὐτῶν ἀπωθούμενος
some to other-things dragging none of-them pushing-away
μηδὲ ἀντιλέγων, ἀλλὰ ἑτοίμως δὴ καὶ προθύμως
nor contradicting but readily indeed and eagerly

συνεπόμενος. αἱ δὲ μετὰ πολλοῦ πατάγου κυμβάλων τε
following-along they and with much clatter of-cymbals both
καὶ αὐλῶν φέρουσαι μαινόμενον αὐτὸν σπουδῇ προΐτωσαν.
and pipes carrying raving him with-haste let-them-come-forward
ὁ δ' ἐκ μέσων ἀναβοάτω τῶν γυναικῶν ὀξύτερον 112
he and from among let-him-shout-out the women more-shrilly
καὶ ἀκρατέστερον, λευκὸς ἰδεῖν καὶ τρυφερός, αἰθρίας
and more-uncontrolledly white to-see and delicate of-open-air
καὶ πόνων ἄπειρος, ἀποκλίνων τὸν τράχηλον, ὑγροῖς
and toils inexperienced bending the neck with-languid
τοῖς ὄμμασι μάχλον ὑποβλέπων, ἀεί ποτε τὸ σῶμα
the eyes lewdly looking-askance always ever the body
καταθεώμενος, τῇ ψυχῇ δὲ οὐδὲν προσέχων οὐδὲ τοῖς
gazing-at to-the soul but nothing attending nor to-the
ὑπ' αὐτῆς προσταττομένοις.
by it commanded-things
τοῦτον ἀγαλματοποιὸς ἢ γραφεὺς ἀναγκαζόμενος εἰκάζειν 113
him sculptor or painter being-compelled to-represent
οὐκ ἂν ὁμοιότερον ἄλλῳ ἐργάσαιτο ἢ τῷ Σύρων βασιλεῖ
not — more-like to-another would-make than to-the of-Syrians king
μετ' εὐνούχων καὶ παλλακῶν ἔνδον διαβιοῦντι, στρατοπέδου
with eunuchs and concubines within living-out of-camp
δὲ καὶ πολέμου καὶ ἀγορᾶς ἀθεάτῳ τὸ παράπαν.
and and war and market-place unseeing the at-all
προηγείσθω δὲ καὶ τούτου ἀπάτη, πάνυ ὡραία καὶ 114
let-lead-the-way and also of-this-one deceit very blooming and
πιθανή, κεκοσμημένη κόσμοις πορνικοῖς, μειδιῶσα καὶ
persuasive adorned with-ornaments whorish smiling and
ὑπισχνουμένη πλῆθος ἀγαθῶν, ὡς ἐπ' αὐτὴν ἄγουσα
promising multitude of-goods as to itself leading
τὴν εὐδαιμονίαν, ἕως ἂν εἰς τὸ βάραθρον καταβάλῃ
the happiness until — into the pit she-throws

λαθοῦσα, εἰς πολύν τε καὶ ῥυπαρὸν βόρβορον, ἔπειτα
having-escaped-notice into deep both and filthy mire then
ἐάσῃ κυλινδεῖσθαι μετὰ τῶν στεφάνων καὶ τοῦ κροκωτοῦ.
lets-him to-wallow with the garlands and the saffron-robe
115 τοιούτῳ δεσπότῃ λατρεύουσαι καὶ τοιαῦτα πάσχουσαι
such master serving and such-things suffering
πλανῶνται κατὰ τὸν βίον ὅσαι ψυχαὶ πρὸς μὲν πόνους
wander through the life as-many-as souls toward indeed toils
δειλαὶ καὶ ἀδύνατοι, δεδουλωμέναι δὲ ἡδοναῖς, φιλήδονοι
cowardly and unable enslaved and to-pleasures pleasure-loving
καὶ φιλοσώματοι, βίον αἰσχρὸν καὶ ἐπονείδιστον οὐχ
and body-loving life shameful and reproachful not
ἑλόμεναι ζῶσιν, ἀλλὰ ἐνεχθεῖσαι πρὸς αὐτόν.
having-chosen live but having-been-borne toward it

VI · THE SPIRIT OF AMBITION

The ambitious spirit is winged and wind-borne, always aloft, now soaring in fair weather, now hidden in the cloud of disrepute, like Icarus on wax wings or Ixion on his wheel, rising and sinking with the praise and blame of the crowd he courts. His character is contentious, foolish, puffed up, and changeable; his deceit tells him he loves the beautiful and leads him toward virtue and fair fame, and, like Ixion, who desired Hera and lay with a cloud, he begets monstrous offspring, the policies of demagogues and the treatises of sophists. Often two or all three spirits rule one man and tear his soul apart. Diogenes turns now to hymn the good spirit and god.

116 οὐκοῦν μετὰ τοῦτον ὁ λόγος ὥσπερ ἐν ἀγῶνι σφύττει
therefore after this-one the discourse as in contest throbs
τρίτον εἰσάγειν, ὡς ἐκεῖ χορόν, τὸν φιλότιμον, οὐ πάνυ
third to-bring-in as there chorus the honor-loving not very
προθύμως τὰ νῦν ἀγωνιούμενον, καίτοι φιλόνικον ὄντα
eagerly the now going-to-compete and-yet contentious being

τῇ φύσει περὶ πάντα καὶ πρωτεύειν ἀξιοῦντα· πλὴν οὐ
by-the nature about all and to-be-first thinking-fit except not
περὶ δόξης ἢ τιμῆς ἡ κρίσις αὐτῷ τὰ νῦν ἐνέστηκεν,
about glory or honor the judgment for-him the now is-at-hand
ὑπὲρ δὲ πολλῆς καὶ δικαίας ἀδοξίας.
about but much and just disrepute
φέρε δὴ ποῖόν τι πλάττωμεν τό τε σχῆμα καὶ εἶδος 117
come indeed of-what-sort some let-us-mold the both guise and form
τοῦ φιλοτίμου δαίμονος; ἢ δῆλον ὅτι πτερωτόν τε καὶ
of-the honor-loving spirit or clear that winged both and
ὑπηνέμιον κατὰ τὸ ἦθος αὐτοῦ καὶ τὴν ἐπιθυμίαν
wind-swept according-to the character his and the desire
ἅμα τοῖς πνεύμασι φερόμενον, ὁποίους τοὺς Βορεάδας
together-with the winds borne such-as — sons-of-Boreas
ἐνεθυμήθησάν τε καὶ ἔγραψαν οἱ γραφεῖς, ἐλαφρούς τε
imagined both and painted the painters light both
καὶ μεταρσίους, ταῖς τοῦ πατρὸς αὔραις συνθέοντας.
and aloft with-the of-the father breezes running-along
ἀλλ᾽ ἐκεῖνοι μέν, ὁπότε βουληθεῖεν, ἐπεδείκνυντο τὴν 118
but they indeed whenever they-wished showed the
αὑτῶν δύναμιν, τέως δὲ μετὰ τῶν ἄλλων ἡρώων ἐν τῇ
their-own power meanwhile and with the other heroes in the
Ἀργοῖ συνέπλεον ναυτιλλόμενοι καὶ τἆλλα πράττοντες
Argo sailed-with voyaging and the-other-things doing
οὐδενὸς ἧττον. ὁ δὲ τῶν φιλοδόξων ἀνδρῶν προστάτης
than-none less the but of-the glory-loving men patron
ἀεὶ μετέωρος, οὐδέποτε γῆς ἐφαπτόμενος οὐδὲ ταπεινοῦ
always aloft never earth touching nor lowly
τινος, ἀλλὰ ὑψηλὸς καὶ μετάρσιος,
anything but high and aloft

119 ὅταν μὲν αἰθρίας τύχῃ καὶ γαλήνης ἢ ζεφύρου τινὸς
when indeed clear-sky he-meets and calm or west-wind some
ἐπιεικῶς πνέοντος, ἀεὶ μᾶλλον ἀγαλλόμενός τε καὶ
gently blowing always more exulting both and
ἀνιὼν εἰς αὐτὸν τὸν αἰθέρα, πολλάκις δ' ἐν σκοτεινῷ
rising into very the ether often but in dark
νέφει κρυπτόμενος, ἀδοξίας τινὸς συντρεχούσης καὶ ψόγου
cloud hidden of-disrepute some coinciding and of-blame
παρὰ τῶν πολλῶν ἀνθρώπων, οὓς ἐκεῖνος θεραπεύει καὶ
from the many men whom he courts and
τιμᾷ καὶ τῆς εὐδαιμονίας τῆς αὑτοῦ κυρίους ἀπέδειξεν.
honors and of-the happiness the his-own masters has-made
120 οὐδέν γε μὴν προσέοικεν ἀσφαλείας ἕνεκεν οὔτε
in-nothing at-least indeed is-he-like of-safety for-the-sake neither
ἀετοῖς οὔτε γεράνοις οὔτε ἄλλῳ τινὶ πτηνῷ γένει τὴν
to-eagles nor to-cranes nor to-other any winged race in-the
φύσιν, ἀλλὰ μᾶλλον ἄν τις αὐτὸν προσεικάσειε τῇ
nature but rather — anyone him would-liken to-the
Ἰκαρίου βιαίῳ καὶ παρὰ φύσιν φορᾷ, οὐ δυνατὸν τέχνημα
of-Icarus violent and against nature flight not possible contrivance
ἐπιχειρήσαντος Δαιδάλου τεχνήσασθαι.
having-attempted Daedalus to-contrive
121 τοιγαροῦν ὑπὸ νεότητος καὶ ἀλαζονείας ἐπιθυμῶν
therefore through youth and boastfulness desiring
ὑψηλότερος τῶν ἄστρων φέρεσθαι χρόνον μέν τινα
higher than-the stars to-be-borne time indeed some
ἐσῴζετο βραχύν, χαλωμένων δὲ τῶν δεσμῶν καὶ τοῦ κηροῦ
he-was-safe brief being-loosened but the bonds and the wax
ῥέοντος, ἐπωνυμίαν ἀπὸ τοῦδε τῷ πελάγει παρέσχεν,
melting name from this to-the sea he-gave
οὗπερ ἠφανίσθη πεσών·
where he-vanished having-fallen

κἀκεῖνος ἀσθενέσι καὶ κούφοις τῷ ὄντι πιστεύσας πτεροῖς, 122
and-he on-weak and light in-the being having-trusted wings
λέγω δὲ τιμαῖς τε καὶ ἐπαίνοις ὑπὸ τῶν ἀνθρώπων
I-mean and honors both and praises by the men
τῶν πολλῶν ὡς ἔτυχε γιγνομένοις, ἐπισφαλῶς καὶ
the many as it-happened coming precariously and
ἀσταθμήτως φέρεται καὶ φέρει τὸν ἄνδρα τὸν αὑτοῦ
unsteadily is-borne and bears the man the his-own
ζηλωτήν τε καὶ ὑπηρέτην, νῦν μὲν ὑψηλὸν καὶ μακάριον
admirer both and servant now indeed high and blessed
πολλοῖς φαινόμενον, πάλιν δὲ αὖ ταπεινόν τε καὶ ἄθλιον
to-many appearing again but in-turn humble both and wretched
τοῖς τε ἄλλοις καὶ πρώτῳ καὶ μάλιστα αὑτῷ δοκοῦντα.
to-the both others and first and most to-himself seeming
εἰ δέ τῳ οὐ φίλον πτηνὸν αὐτὸν διανοεῖσθαι καὶ 123
if but to-anyone not dear winged him to-conceive and
ποιεῖν, ὁ δὲ ἀφομοιούτω αὐτὸν τῇ τοῦ Ἰξίονος χαλεπῇ
to-make he but let-him-liken him to-the — of-Ixion harsh
καὶ βιαίῳ φορᾷ τε καὶ ἀνάγκῃ, τροχοῦ τινος ῥύμῃ κύκλῳ
and violent motion both and compulsion of-wheel some by-rush in-a-circle
κινουμένου τε καὶ φερομένου. οὐ γὰρ ἀπεοικὸς οὐδὲ
being-moved both and borne not for unlike nor
μακρὰν δὴ τῶν σοφῶν τε καὶ κομψῶν εἰκασμάτων
far indeed from-the wise both and elegant likenesses
εἴη ἂν ὁ τροχὸς δόξῃ παραβαλλόμενος, τῇ τε κινήσει
would-be — the wheel to-glory compared in-the both motion
καὶ μεταβολῇ πάνυ ῥᾳδίως περιθέων, ἐν δὲ τῇ περιφορᾷ
and change very easily running-around in and the revolution
παντοῖα σχήματα τὴν ψυχὴν ἀναγκάζων λαμβάνειν μᾶλλον
all-kinds shapes the soul compelling to-take rather
ἢ ὁ τῶν κεραμέων τὰ ἐπ᾽ αὐτῷ πλαττόμενα.
than the(-one) of-the potters the-things on it being-molded

124 ἄνδρα δὴ τοιοῦτον εἰλούμενον ἀεὶ καὶ περιφερόμενον,
man indeed such rolled always and carried-around
κόλακα δήμων τε καὶ ὄχλων ἐν ἐκκλησίαις ἢ ἐπιδείξεσιν
flatterer of-peoples both and crowds in assemblies or displays
ἢ βασιλέων ἢ τυράννων λεγομέναις δὴ φιλίαις καὶ
or of-kings or tyrants so-called indeed friendships and
θεραπείαις, τίς οὐκ ἂν ἐλεήσειε τῆς φύσεως καὶ τοῦ βίου;
courtings who not — would-pity for-the nature and the life
λέγω δὲ οὐχ ὃς ἂν ἀπὸ τοῦ βελτίστου προεστηκὼς πολύ
I-mean but not who — from the best presiding great
τι πλῆθος ἀνθρώπων πειθοῖ καὶ λόγῳ μετ᾽ εὐνοίας καὶ
some multitude of-men by-persuasion and reason with goodwill and
δικαιοσύνης πειρᾶται ῥυθμίζειν τε καὶ ἄγειν ἐπὶ τὰ βελτίω.
justice tries to-order both and to-lead to the better
125 ἐχέτω δὴ καὶ οὗτος ἡμῖν ὁ δαίμων τέλος, ἵνα μὴ νῦν
let-have indeed also this-one for-us the spirit end so-that not now
στολάς τε καὶ μορφὰς προστιθέντες αὐτῷ καὶ τἆλλα τὰ
robes both and shapes adding to-him and the-other-things the
προσήκοντα πολὺν καὶ ἄπειρον εἰσφερώμεθα λόγων ὄχλον.
fitting great and endless we-may-bring-in of-words crowd
126 εἴη δ᾽ ἂν αὐτοῦ τὸ ἦθος, ὡς ἐν βραχεῖ περιλαβεῖν,
would-be and — his the character as in brief to-sum-up
φιλόνικον, ἀνόητον, χαῦνον, ἀλαζονείᾳ καὶ ζηλοτυπίᾳ καὶ
contentious senseless puffed-up to-boastfulness and to-jealousy and
πᾶσι τοῖς τοιούτοις ἔγγιστα χαλεποῖς καὶ ἀγρίοις πάθεσιν.
to-all the such nearest harsh and savage passions
ἅπαντα γὰρ ταῦτα φιλοτίμῳ τρόπῳ ψυχῆς ἀκοινώνητα
all for these-things to-honor-loving manner of-soul unsociable
127 καὶ ἄγρια καὶ χαλεπὰ ἀνάγκη πᾶσα συνέπεσθαι, ἔτι δὲ
and savage and harsh necessity all to-follow further and
αὐτὸν πολὺ μεταλλάττειν καὶ ἀνώμαλον ἔχειν τὴν διάνοιαν,
he much to-change and uneven to-have the mind

ἅτε ἀνωμάλῳ δουλεύοντα καὶ προσέχοντα πράγματι,
as to-uneven serving and attending thing
πυκνότερον καὶ συνεχέστερον ἢ τοὺς κυνηγέτας φασὶ
more-often and more-continuously than the hunters they-say
χαίροντα καὶ λυπούμενον· ἐκείνοις γὰρ δὴ μάλιστα τοῦτο
rejoicing and grieving to-those for indeed most this
πλεῖστον καὶ συνεχέστατον συμβαίνειν λέγουσι, φαινομένης
most and most-continuously to-happen they-say appearing
τε καὶ ἀπολλυμένης τῆς ἄγρας·
both and disappearing the game
ὅταν μὲν γὰρ εὐδοκιμήσεις τε καὶ ἔπαινοι συμβαίνωσιν 128
when indeed for good-reputes both and praises happen
αὐτοῖς, ἡ ψυχὴ τοῦ τοιούτου ἀνδρὸς αὔξει καὶ βλαστάνει
to-them the soul of-the such man grows and sprouts
καὶ θαυμαστὸν ἴσχει μέγεθος, καθάπερ Ἀθήνησί φασι τὸν
and wonderful has size as at-Athens they-say the
ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι καὶ τέλειον
sacred of-the olive shoot in day one to-have-sprouted and complete
γενέσθαι· ταχὺ δὲ αὖ πάλιν συστέλλεται καὶ ταπεινοῦται
to-have-become quickly and in-turn again it-is-contracted and humbled
καὶ φθίνει, ψόγου τινὸς προσπεσόντος ἢ δυσφημίας.
and wastes blame some having-befallen or ill-report
ἀπάτη δὲ καὶ τούτῳ παρέπεται τῷ δαίμονι ἁπασῶν 129
deceit and also this follows the spirit of-all
πιθανωτάτη. οὐ γὰρ ὡς ἡ τοῦ φιλαργύρου καὶ
most-persuasive not for as the(-deceit) of-the money-lover and
φιληδόνου λαμπρὸν μὲν οὐδὲν λόγῳ ἐδύναντο ὑποσχέσθαι,
pleasure-lover brilliant indeed nothing in-word were-able to-promise
οὐδ' ὡς ἐπὶ σεμνὰ καὶ λαμπρὰ προήγαγον τοὺς
nor as to august and brilliant-things led those
ἀπατωμένους ὑπ' αὐτῶν, ἀλλὰ μόνον τὸ τῶν ἀγαθῶν
deceived by them but only the of-the goods

αὐτοῖς ὄνομα ἐπεφήμιζον καὶ προσετίθεσαν, οὕτως ἡ τοῦδε
to-them name they-pronounced and added so the of-this
ἀπάτη, ἀλλ᾽ ἐπᾴδουσα καὶ γοητεύουσά φησι φιλόκαλον αὐτὸν
deceit but enchanting and bewitching says beauty-loving him
εἶναι καὶ ὡς ἐπ᾽ ἀρετήν τινα ἢ εὔκλειαν ἄγει τὴν δόξαν.
to-be and as to virtue some or fair-fame leads the reputation
130 πάλιν οὖν ἐνθάδε κινδυνεύσω τὸ δεύτερον εἰς τὸν
again then here I-will-risk the second-time into the
αὐτὸν πεσεῖν μῦθον τὸν Ἰξίονος. καὶ γὰρ ἐκεῖνόν
same to-fall myth the of-Ixion and for him
φασιν ἐπιθυμήσαντα τῶν Ἥρας μακαρίων γάμων νεφέλῃ
they-say having-desired of-the of-Hera blessed marriage with-cloud
τινὶ συγγενόμενον σκοτεινῇ καὶ ἀχλυώδει ἄχρηστα καὶ
some having-consorted dark and misty useless and
ἀλλόκοτα γεννῆσαι τέκνα, τὸ τῶν Κενταύρων γένος
monstrous to-have-begotten children the of-the Centaurs race
ποικίλον καὶ συμπεφορημένον.
variegated and jumbled
131 ὁ γὰρ εὐκλείας ἔρωτος διαμαρτών, ἔπειτα δόξης ἐπιθυμίᾳ
the for of-fair-fame love having-missed then of-glory with-desire
συνών, τῷ ὄντι νεφέλῃ λέληθεν ἀντὶ τῆς θείας καὶ
consorting in-the being with-cloud has-escaped-notice instead-of the divine and
σεμνῆς ὁμιλίας συνών. ἐκ δὲ τῶν τοιούτων συνουσιῶν ἢ
august intercourse consorting from and the such unions or
γάμων ὠφέλιμον μὲν ἢ χρήσιμον οὐδὲν ἂν γένοιτο,
marriages beneficial indeed or useful nothing — would-come-about
θαυμαστὰ δὲ καὶ ἄλογα, προσεοικότα τοῖς Κενταύροις,
wonderful but and irrational resembling to-the Centaurs
δημαγωγῶν τινων πολιτεύματα καὶ ξυγγράμματα σοφιστῶν.
of-demagogues some policies and treatises of-sophists

ξεναγοὶ γὰρ καὶ σοφισταὶ καὶ δημαγωγοί· λέγω δὲ 132
mercenary-captains for and sophists and demagogues I-mean but
διακρίνων στρατηγούς τε καὶ παιδευτὰς καὶ πολιτικοὺς
distinguishing generals both and educators and statesmen
ἄνδρας ἀπὸ τῶν νῦν εἰρημένων· οὗτοι πάντες ἐκείνῳ τῷ
men from the now mentioned these all to-that the
δαίμονι προσνέμεσθαι ἄξιοι καὶ τῆς ἐκείνου μερίδος τε
spirit to-be-assigned worthy and of-the his portion both
καὶ ἑταιρείας ἀριθμεῖσθαι.
and fellowship to-be-numbered
καὶ δὴ νῦν μὲν ἐπεξῆλθον τοὺς ὑφ' ἑνὸς ἑκάστου 133
and indeed now indeed I-have-gone-through those by one each
τῶν εἰρημένων δαιμόνων ἐλαυνομένους· πολλάκις δὲ καὶ
of-the mentioned spirits driven often but also
δύο τὸν αὐτὸν ἢ πάντες εἰλήχασι, τἀναντία ἀλλήλοις
two the same or all have-gotten-by-lot opposite-things to-one-another
προστάττοντες καὶ ἀπειλοῦντες, εἰ μὴ πείθοιτο, μεγάλαις
commanding and threatening if not he-should-obey with-great
τισὶ περιβαλεῖν ζημίαις,
some to-involve penalties
ὁ μὲν φιλήδονος ἀναλίσκειν εἰς τὰς ἡδονὰς κελεύων, 134
the(-one) indeed pleasure-loving to-spend on the pleasures bidding
καὶ μήτε χρυσοῦ μήτε ἀργύρου μήτε ἄλλου κτήματος
and neither gold nor silver nor other possession
φείδεσθαι μηδενός, ὁ δ' αὖ φιλοχρήματος καὶ
to-spare none the(-other) and in-turn money-loving and
μικρολόγος οὐκ ἐῶν, ἀλλὰ κατέχων τε καὶ ἀπειλῶν,
stingy not allowing but restraining both and threatening
εἰ πείσεται ἐκείνῳ, λιμῷ τε καὶ δίψῃ καὶ ἀπάσῃ πενίᾳ
if he-will-obey that-one by-hunger both and thirst and all poverty
τε καὶ ἀπορίᾳ διολλύειν αὐτόν.
both and want to-destroy him

135 πάλιν δὲ ὁ μὲν φιλόδοξος συμβουλεύει καὶ παρακαλεῖ
again and the(-one) indeed glory-loving advises and urges
προϊέσθαι τὰ ὄντα τιμῆς ἕνεκεν· ὁ δὲ καὶ πρὸς
to-throw-away the possessions of-honor for-the-sake the(-other) and also against
τοῦτον ἀπομάχεται καὶ ἀντιβαίνει. καὶ μὴν ὅ γε τῆς
this fights and opposes and indeed the at-least of-the
ἡδονῆς φίλος καὶ ὁ τῆς δόξης οὔποτε δύνανται συνᾷσαι
pleasure friend and the of-the glory never can to-sing-together
οὐδὲ τὸ αὐτὸ εἰπεῖν. ὁ μὲν γὰρ καταφρονεῖ τῆς
nor the same to-say the(-one) indeed for despises the
δόξης καὶ λῆρον ἡγεῖται καὶ τὸ τοῦ Σαρδαναπάλλου
glory and nonsense considers and the — of-Sardanapalus
προφέρεται πολλάκις ἐλεγεῖον,
brings-forth often elegy

τόσσ᾽ ἔχω ὅσσ᾽ ἔφαγον καὶ ἐφύβρισα καὶ μετ᾽ ἔρωτος
so-much I-have as-much-as I-ate and reveled and with love
τέρπν᾽ ἔπαθον· τὰ δὲ λοιπὰ καὶ ὄλβια πάντα λέλειπται,
delights I-experienced the but rest and blessed-things all are-left

136 καὶ μάλιστα τὸν θάνατον ἀεὶ πρὸ ὀφθαλμῶν δείκνυσιν,
and most the death always before eyes he-shows
ὡς οὐδενὸς ἔτι τῶν ἡδέων δυνησομένῳ μετασχεῖν·
as of-nothing longer of-the pleasant-things to-one-going-to-be-able to-partake
ὁ δὲ φιλόδοξος ἀπάγει τε καὶ ἀφέλκει τῶν ἡδονῶν,
the(-other) but glory-loving leads-away both and drags-off from-the pleasures
τά τε ὀνείδη καὶ τὰς λοιδορίας ἐπανατεινόμενος.
the both reproaches and the revilings holding-over
137 οὐκ ἔχων οὖν ὃ ποιήσῃ καὶ ὅποι τράπηται καὶ
not having then what he-may-do and where he-may-turn and
καταδύσηται, ἀποδιδράσκει πολλάκις εἰς τὸ σκότος, καὶ
may-hide he-runs-away often into the darkness and

πειρᾶται λανθάνων τῷ ἑτέρῳ χαρίζεσθαι καὶ ὑπηρετεῖν·
tries escaping-notice to-the other to-gratify and to-serve
ὁ δὲ ἀποκαλύπτει καὶ εἰς τὸ μέσον αὐτὸν ἕλκει.
the(-other) but uncovers and into the middle him drags
οὕτω δὴ ψυχὴν διαφορουμένην τε καὶ διασπωμένην, 138
so indeed soul torn-apart both and rent
ἀεί ποτε ἐν μάχῃ καὶ στάσει διηνεκεῖ πρὸς αὑτὴν οὖσαν,
always ever in battle and strife continual with itself being
ἀνάγκη πρὸς πᾶσαν ἀφικνεῖσθαι δυστυχίαν. ὥσπερ γὰρ
necessity to every to-come misfortune as for
τὰ νοσήματα ἀλλήλοις ἐπιπλεκόμενα, τἀναντία δοκοῦντα
the diseases with-one-another entangled opposite-things seeming
πολλάκις, χαλεπὴν καὶ ἄπορον ποιεῖ τὴν ἴασιν, τὸν
often hard and impossible make the cure the
αὐτὸν οἶμαι τρόπον ἀνάγκη γίγνεσθαι καὶ τῶν τῆς ψυχῆς
same I-think way necessity to-happen also of-the of-the soul
συμμιγνυμένων τε καὶ συμπλεκομένων εἰς τὸ αὐτὸ παθῶν.
mixed both and entangled into the same passions
ἀλλὰ δὴ μεταλαβόντες καθαράν τε καὶ κρείττω τῆς 139
but indeed having-taken-up pure both and better than-the
πρότερον ἁρμονίας τὸν ἀγαθὸν καὶ σώφρονα ὑμνῶμεν
earlier harmony the good and temperate let-us-hymn
δαίμονα καὶ θεὸν, οἷς ποτε ἐκείνου τυχεῖν ἐπέκλωσαν
spirit and god to-whom ever him to-obtain spun
ἀγαθαὶ Μοῖραι παιδείας ὑγιοῦς καὶ λόγου μεταλαβοῦσι.
good Fates of-education sound and reason having-partaken

DIOGENES, OR ON TYRANNY

I · DIOGENES AND THE PERSIAN KING

Diogenes, exiled from Sinope, says in jest that he imitates the Persian king, wintering in low-lying, mild Athens and summering in breezy Corinth, cities finer than Ecbatana and Babylon, with a journey of a day where the king spends most of each season on the road. He means that of the king's wealth some is useless and the rest within reach of the very poor. Inured to cold, heat, hunger, and thirst, he is healthier than the pampered, eats barley cake with more pleasure than they eat delicacies, drinks from springs, wears one cloak, goes barefoot, and even satisfies his lust in public at no cost, mocking those who spend fortunes on it and calling the act Pan's invention, taught him by Hermes.

1 Διογένης ὁ Σινωπεύς, ὅτε ἔφυγεν ἐκ Σινώπης,
Diogenes the Sinopean when he-was-exiled from Sinope
ἀφικόμενος τὴν Ἑλλάδα διῆγε ποτὲ μὲν ἐν Κορίνθῳ,
having-come-to — Greece lived at-times indeed in Corinth
ποτὲ δὲ Ἀθήνησιν. ἔφη δὲ μιμεῖσθαι τοῦ Περσῶν
at-times and at-Athens he-said and to-imitate of-the of-Persians
βασιλέως τὴν δίαιταν· καὶ γὰρ ἐκεῖνος τοῦ μὲν χειμῶνος
king the way-of-life and for that-one in-the indeed winter
ἐν Βαβυλῶνι καὶ Σούσοις, ἐνίοτε δὲ ἐν Βάκτροις διῆγεν,
in Babylon and Susa sometimes and in Bactra lived
ἐν τοῖς εὐδιεινοτάτοις τῆς Ἀσίας, τοῦ δὲ θέρους ἐν
in the most-sheltered — of-Asia in-the and summer in
Ἐκβατάνοις τῆς Μηδικῆς, ὅπου ψυχρότατος ὁ ἀὴρ ἀεί
Ecbatana — of-Media where coldest the air always
ποτέ ἐστι καὶ τῷ περὶ Βαβυλῶνα χειμῶνι τὸ θέρος ὅμοιον.
ever is and to-the about Babylon winter the summer like

οὕτως δὲ καὶ αὐτὸς μεταλλάττειν τὴν οἴκησιν κατὰ 2
so and also himself to-change the dwelling according-to
τὰς ὥρας τοῦ ἔτους. τὴν μὲν γὰρ Ἀττικὴν μήτε ὄρη
the seasons of-the year — indeed for Attica neither mountains
μεγάλα ἔχειν μήτε ποταμοὺς διαρρέοντας, καθάπερ τήν τε
great to-have nor rivers flowing-through as the both
Πελοπόννησον καὶ Θετταλίαν· εἶναι γὰρ τὴν χώραν ἀραιὰν
Peloponnese and Thessaly to-be for the country thin
καὶ τὸν ἀέρα κοῦφον, ὡς μήτε ὕεσθαι πολλάκις μήτε
and the air light so-as neither to-be-rained-on often nor
ὑπομένειν τὸ γιγνόμενον ὕδωρ, περιέχεσθαί τε ὀλίγου
to-retain the falling water to-be-surrounded both nearly
πᾶσαν αὐτὴν ὑπὸ τῆς θαλάττης· ὅθεν δὴ καὶ τοὔνομα
all it by the sea whence indeed also the-name
λαβεῖν, οἷον ἀκτήν τινα οὖσαν· τὴν δὲ αὖ πόλιν ἐν
to-have-taken as shore some being the but in-turn city in
τῷ χθαμαλῷ κεῖσθαι καὶ πρὸς μεσημβρίαν.
the low-ground to-lie and toward south
σημεῖον δέ· τοὺς γὰρ ἀπὸ τοῦ Σουνίου καταίροντας 3
sign and those for from the Sunium putting-in
εἰς τὸν Πειραιᾶ μὴ δύνασθαι ἄλλως ἢ νότῳ
at — Piraeus not to-be-able otherwise than with-south-wind
κατᾶραι. εἰκότως οὖν τὸν χειμῶνα γίγνεσθαι πρᾷον. ἐν
to-put-in fittingly then the winter to-be mild in
δὲ τῇ Κορίνθῳ τὸ θέρος εὔπνουν, διὰ τοὺς εἰσέχοντας
but — Corinth the summer breezy because-of the projecting
κόλπους ἀεί ποτε τῶν πνευμάτων ἐκεῖσε συρρεόντων·
gulfs always ever of-the winds thither flowing-together
ὅ τε Ἀκροκόρινθος ἐπισκιάζει καὶ αὐτὴ μᾶλλον ἐπὶ τὸ
the both Acrocorinth overshadows and itself more toward —
Λέχαιον καὶ πρὸς τὴν ἄρκτον ἀποκλίνει.
Lechaeum and toward the north inclines

4 πολὺ δὲ καλλίονας ὑπάρχειν τὰς πόλεις ταύτας Ἐκβατάνων
much and finer to-be the cities these than-Ecbatana
καὶ Βαβυλῶνος, καὶ πολὺ ἄμεινον κατεσκευάσθαι τῶν ἐκεῖ
and Babylon and much better to-have-been-built than-the there
βασιλείων τό τε Κράνειον καὶ τὴν Ἀθήνησιν ἀκρόπολιν
palaces the both Craneum and the at-Athens acropolis
καὶ τὰ προπύλαια, μεγέθει δὲ λείπεσθαι μόνον· καίτοι
and the propylaea in-size but to-fall-short only and-yet
διακοσίων σταδίων εἶναι τὴν περίμετρον τῶν Ἀθηνῶν,
of-two-hundred stades to-be the circuit — of-Athens
τοῦ Πειραιῶς συντιθεμένου καὶ τῶν διὰ μέσου τειχῶν
— Piraeus being-added and the through middle walls
πρὸς τὸν περίβολον τοῦ ἄστεος· οἰκεῖσθαι γὰρ οὐ πάλαι
to the enclosure of-the city to-be-inhabited for not long-ago
καὶ ταῦτα σύμπαντα· ὥστε τὸ ἥμισυ ἔχειν Ἀθήνας
also these-things all so-that the half to-have Athens
Βαβυλῶνος, εἰ τυγχάνει ἀληθῆ λεγόμενα περὶ τῶν ἐκεῖ.
of-Babylon if it-happens true the-things-said about the-things there
5 καὶ μὴν τό γε τῶν λιμένων κάλλος, ἔτι δὲ ἀνδριάντας
and indeed the at-least of-the harbors beauty further and statues
καὶ γραφὰς καὶ χρυσόν τε καὶ ἄργυρον καὶ χαλκόν,
and paintings and gold both and silver and bronze
τό τε νόμισμα καὶ τὰ ἔπιπλα, καὶ τὴν τῶν οἰκιῶν
the both coinage and the furniture and the of-the houses
κατασκευήν, ὑπερβάλλειν μὲν τὰ ἐνταῦθα· πλὴν αὐτῷ
construction to-surpass indeed the-things here except to-him
γε οὐ πολὺ μέλειν τῶν τοιούτων.
at-least not much to-matter of-the such-things
6 τὸ δὲ τῆς ὁδοῦ μῆκος ἐκείνῳ μὲν ὥστε μεταβῆναι
the but of-the road length for-that-one indeed so-as to-move
πάμπολυ γίγνεσθαι· σχεδὸν γοῦν αὐτὸν ἐν ὁδῷ διάγειν τοῦ
very-long to-be nearly at-least him on road to-spend of-the

χειμῶνος καὶ τοῦ θέρους τὸ πλέον· αὐτὸν δὲ πλησίον
winter and of-the summer the greater-part himself and near
καταλύσαντα Μεγαροῖ Ἀθήνησι γενέσθαι τῇ ὑστεραίᾳ
having-lodged at-Megara at-Athens to-be on-the next-day
πάνυ ῥᾳδίως, εἰ μὲν βούλοιτο, ἐπ᾽ Ἐλευσῖνος· εἰ δὲ μή,
very easily if indeed he-wished by Eleusis if but not
βραχυτέραν διὰ Σαλαμῖνος, μὴ δι᾽ ἐρήμων σταθμῶν
shorter through Salamis not through deserted stations
πορευόμενον· ὥστε πλεονεκτεῖν βασιλέως καὶ μᾶλλον
traveling so-that to-have-the-advantage over-the-king and more
τρυφᾶν· ἄμεινον γὰρ κατεσκευάσθαι τὴν οἴκησιν.
to-live-luxuriously better for to-have-been-built the dwelling
ταῦτα δὲ εἰώθει μὲν παίζων λέγειν· ὅμως δὲ 7
these-things and he-was-wont indeed jesting to-say nevertheless but
ἐνεδείκνυτο τοῖς θαυμάζουσι τὸν πλοῦτον τοῦ Πέρσου
he-showed to-those admiring the wealth of-the Persian
καὶ τὴν λεγομένην εὐδαιμονίαν ὅτι οὐδέν ἐστι τῶν ἐκείνου
and the so-called happiness that nothing is of-the his
πραγμάτων οἷον νομίζουσι. τῶν μὲν γὰρ οὐδὲν
affairs such-as they-think of-the(-things) indeed for no
ὄφελος εἶναι, τὰ δὲ καὶ σφόδρα πένησιν ἐξεῖναι ποιεῖν.
benefit to-be the(-things) and even very to-poor-men possible to-do
οὐδὲ γάρ, ὡς ἐνόμιζον ἔνιοι τῶν ἀφρόνων, ἀμελὴς ἦν 8
not for as thought some of-the senseless careless was
αὐτῷ περὶ τοῦ σώματος, ἀλλ᾽ ἐκεῖνοι μὲν ὁρῶντες
to-him about the body but they indeed seeing
ῥιγῶντα καὶ θυραυλοῦντα καὶ διψῶντα πολλάκις ἡγοῦντο
him-shivering and sleeping-outdoors and thirsting often thought
ἀμελεῖν τοῦ ὑγιαίνειν καὶ τοῦ ζῆν· ὁ δὲ ταῦτα πάσχων
him-to-neglect the being-healthy and the living he but these-things suffering
μᾶλλον μὲν ὑγίαινε τῶν ἀεὶ ἐμπιμπλαμένων, μᾶλλον
more indeed was-healthy than-those always filling-themselves more

δὲ τῶν ἔνδον μενόντων καὶ μηδέποτε μήτε ψύχους
and than-those inside staying and never either cold
μήτε καύματος πειρωμένων,
or heat trying
9 ἔτι δὲ ἥδιον μὲν ἀλεαινόμενος ᾐσθάνετο, ἥδιον
further and more-pleasantly indeed warming-himself he-perceived more-pleasantly
δὲ σιτία προσεφέρετο· πολὺ δὲ μάλιστα ταῖς ὥραις ἔχαιρεν,
and food he-took much and most in-the seasons he-rejoiced
καὶ τοῦτο μὲν εὐφραίνετο θέρους προσιόντος, ὁπότε ἤδη
and at-one-time indeed was-gladdened summer approaching when already
διαχέοι τὸν ἀέρα, τοῦτο δὲ οὐκ ἤχθετο παυομένου,
it-should-dissolve the air at-another and not was-vexed it-ceasing
ἅτε ἀπαλλαττόμενος τοῦ σφοδροῦ καύματος, τοῖς δὲ
as being-freed from-the violent heat to-the and
ὥραις ξυνεπόμενος καὶ κατ᾽ ὀλίγον αὐτῶν πειρώμενος
seasons following and by little them trying
ἀλύπως ἀφικνεῖτο πρὸς ἑκατέραν τὴν ὑπερβολήν.
painlessly he-arrived at each the extreme
10 πυρὶ δὲ ἢ σκιᾷ ἢ σκέπῃ σπανίως ἐχρῆτο, οὐ προλαμβάνων
fire and or shade or shelter rarely he-used not anticipating
τὸν καιρόν, οὐδὲ ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, ὅτι μὲν
the time nor as the other men because indeed
ἔξεστιν αὐτοῖς ἀεὶ πῦρ καίειν, εὐποροῦσι δὲ ἐσθῆτος,
it-is-possible for-them always fire to-burn are-well-supplied and with-clothing
ἔχουσι δὲ οἰκίας, ἐὰν καὶ μικρὸν αἴσθωνται ψύχους, εὐθὺς
have and houses if even a-little they-perceive of-cold at-once
ἀποδιδράσκουσι τὸν ἀέρα καὶ τὰ σώματα ἀχρεῖα ποιοῦσι
they-run-away-from the air and the bodies useless make
καὶ ἀδύνατα ἀνέχεσθαι χειμῶνος,
and unable to-endure winter

ὅτι δὲ ἔξεστιν αὐτοῖς σκιᾷ μὲν ἀφθόνῳ χρῆσθαι τοῦ 11
because and it-is-possible for-them shade indeed abundant to-use in-the
θέρους, πίνειν δὲ οἶνον ὁπόσον βούλονται, διὰ τοῦτο
summer to-drink and wine as-much-as they-wish because-of this
ἄπειροι μὲν ἡλίου διατελοῦσιν, ἄπειροι δὲ τοῦ διψῆν
inexperienced indeed of-sun they-continue inexperienced and of-the thirsting
κατὰ φύσιν, οἰκότροφοι μὲν οὐχ ἧττον τῶν γυναικῶν,
according-to nature house-bred indeed no less than-the women
ἄπονοι δὲ καὶ ἀργοὶ τὰ σώματα, κραιπάλης δὲ καὶ
toilless and and idle in-the bodies of-drunkenness and and
λήθης τὰς ψυχὰς γέμοντες. ὅθεν δὴ καὶ ἐπιμηχανῶνται
forgetfulness in-the souls full whence indeed also they-devise
αὑτοῖς καὶ σιτία πονηρὰ καὶ βαλανεῖα τούτου χάριν,
for-themselves both foods bad and baths of-this for-the-sake
τῆς δ' αὐτῆς ἡμέρας πολλάκις δέονται μὲν ἀνέμου,
of-the and same day often they-need indeed wind
δέονται δὲ ἐσθῆτος, δέονται δὲ ὁμοῦ χιόνος καὶ πυρός, τὸ
they-need and clothing they-need and at-once snow and fire the
δὲ πάντων ἀτοπώτατον, ἐπιθυμοῦσι καὶ λιμοῦ καὶ δίψους.
but of-all most-absurd they-desire both hunger and thirst
ἀκόλαστοι δὲ ὄντες οὐχ ἥδονται ἀφροδισίοις διὰ τὸ 12
licentious and being not they-enjoy sex because-of the
μὴ περιμένειν ὀρέγεσθαι αὐτῶν· ὅθεν ζητοῦσιν ἀχαρίτους
not to-wait to-crave it whence they-seek graceless
καὶ ἀτερπεῖς ἡδονάς. ὁ δὲ λιμῷ μὲν ἐχρῆτο καὶ δίψει
and joyless pleasures he but hunger indeed used and thirst
πρὸ τῆς τροφῆς ἑκάστοτε, καὶ ἐνόμιζε τοῦτο ἱκανώτατον
before the food each-time and considered this most-sufficient
καὶ δριμύτατον τῶν ὄψων. τοιγαροῦν ἥδιον μὲν
and most-pungent of-the relishes therefore more-pleasantly indeed
προσεφέρετο μᾶζαν ἢ οἱ ἄλλοι τὰ πολυτελέστατα τῶν
he-ate barley-cake than the others the most-costly of-the

σιτίων, ἥδιον δὲ ἔπινε τοῦ ῥέοντος ὕδατος ἢ οἱ
foods more-pleasantly and he-drank of-the flowing water than the
ἄλλοι τὸν Θάσιον οἶνον.
others the Thasian wine

13 κατεγέλα δὲ τῶν, ὁπότε διψῷεν, τὰς μὲν κρήνας
he-mocked and those whenever they-thirsted the indeed springs
παρερχομένων, ζητούντων δὲ πάντως ὁπόθεν ὠνήσονται
passing-by seeking but by-all-means whence they-will-buy
Χῖον ἢ Λέσβιον, καὶ πολὺ ἔφασκεν ἀφρονεστέρους εἶναι
Chian or Lesbian and much he-said more-senseless to-be
τῶν βοσκημάτων· ἐκεῖνα γὰρ οὐδέποτε διψῶντα κρήνην
than-the cattle those for never thirsting spring
οὐδὲ ῥεῦμα καθαρὸν παρελθεῖν οὐδὲ πεινῶντα ἀπέχεσθαι
nor stream pure to-pass-by nor hungry to-keep-away
τῶν ἁπαλωτάτων φύλλων καὶ πόας τῆς ἱκανῆς τρέφειν·
from-the most-tender leaves and grass the sufficient to-nourish
14 οἰκίας δὲ τὰς καλλίστας καὶ ὑγιεινοτάτας ἐν ἁπάσαις
houses and the finest and most-healthful in all
ταῖς πόλεσιν ἔχειν ἀναπεπταμένας τά τε ἱερὰ καὶ τὰ
the cities to-have opened-wide the both temples and the
γυμνάσια. ἱμάτιον δὲ ἓν ἐξήρκει τοῦ θέρους αὐτῷ καὶ
gymnasia cloak and one sufficed in-the summer for-him and
τοῦ χειμῶνος· τοῦ γὰρ ἀέρος ἠνείχετο ῥᾳδίως, ἅτε δὴ
in-the winter the for air he-bore easily as indeed
συνήθης αὐτῷ γενόμενος.
accustomed to-it having-become
15 τοὺς δὲ πόδας οὐδέποτε ἔσκεπεν· οὐ γὰρ ἔφη
the and feet never he-covered not for he-said
τρυφερωτέρους εἶναι τῶν ὀφθαλμῶν καὶ τοῦ προσώπου.
more-delicate to-be than-the eyes and the face
ταῦτα γάρ, ἀσθενέστατα πεφυκότα, μάλιστα ἀνέχεσθαι
these for weakest being-by-nature most to-endure

τὸ ψῦχος διὰ τὸ γυμνοῦσθαι ἀεί· μὴ γὰρ εἶναι τοῖς
the cold because-of the to-be-bared always not for to-be for-the
ἀνθρώποις δυνατὸν καταδησαμένους τὰ ὄμματα βαδίζειν,
men possible having-bound-up the eyes to-walk
ὥσπερ τοὺς πόδας. ἔφη δὲ τοὺς πλουσίους ὁμοίους εἶναι
as the feet he-said and the rich like to-be
τοῖς νεογνοῖς βρέφεσι· δεῖσθαι γὰρ ἀεί ποτε σπαργάνων.
to-the newborn babes to-need for always ever swaddling-clothes
ὑπὲρ οὗ δὲ πλεῖστα μὲν πράγματα ἔχουσιν ἄνθρωποι, 16
about which and most indeed troubles have men
πλεῖστα δὲ χρήματα ἀναλίσκουσι, πολλαὶ δὲ ἀνάστατοι
most and money spend many and devastated
πόλεις διὰ ταῦτα γεγόνασι, πολλὰ δὲ ἔθνη τούτων
cities because-of these-things have-become many and nations of-these
ἕνεκεν οἰκτρῶς ἀπόλωλεν, ἁπάντων ἐκείνῳ χρημάτων
for-the-sake pitiably have-perished of-all to-that-one things
ἀπονώτατον ἦν καὶ ἀδαπανώτατον.
most-toilless was and most-inexpensive
οὐ γὰρ ἔδει αὐτὸν οὐδαμόσε ἐλθεῖν ἀφροδισίων 17
not for it-was-needful him anywhere to-go of-sex
ἕνεκεν, ἀλλὰ παίζων ἔλεγεν ἁπανταχοῦ παρεῖναι αὐτῷ τὴν
for-the-sake but jesting he-said everywhere to-be-present for-him —
Ἀφροδίτην προῖκα· τοὺς δὲ ποιητὰς καταψεύδεσθαι τῆς
Aphrodite free the and poets to-lie-against the
θεοῦ διὰ τὴν αὑτῶν ἀκρασίαν, πολύχρυσον καλοῦντας.
goddess because-of the their-own incontinence much-golden calling
ἐπεὶ δὲ πολλοὶ τοῦτο ἠπίστουν, ἐν τῷ φανερῷ ἐχρῆτο
since and many this disbelieved in the open he-used-it
καὶ πάντων ὁρώντων· καὶ ἔλεγεν ὡς εἴπερ οἱ ἄνθρωποι
and all seeing and said that if-indeed the men
οὕτως εἶχον, οὐκ ἂν ἑάλω ποτὲ ἡ Τροία, οὐδ’
so were not — would-have-been-taken ever — Troy nor

ἂν ὁ Πρίαμος ὁ Φρυγῶν βασιλεύς, ἀπὸ Διὸς γεγονώς,
— — *Priam the of-Phrygians king from Zeus born*
ἐπὶ τῷ βωμῷ τοῦ Διὸς ἐσφάγη.
at the altar — of-Zeus would-have-been-slaughtered
18 τοὺς δὲ Ἀχαιοὺς οὕτως εἶναι ἄφρονας ὥστε καὶ τοὺς
the and Achaeans so to-be senseless that even the
νεκροὺς νομίζειν προσδεῖσθαι γυναικῶν καὶ τὴν Πολυξένην
dead to-think to-need women and — Polyxena
σφάττειν ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως. ἔφη δὲ τοὺς
to-slaughter at the tomb — of-Achilles he-said and the
ἰχθύας σχεδόν τι φρονιμωτέρους φαίνεσθαι τῶν
fish nearly somewhat wiser to-appear than-the
ἀνθρώπων· ὅταν γὰρ δέωνται τὸ σπέρμα ἀποβαλεῖν,
men when for they-need the seed to-cast-off
ἰόντας ἔξω προσκνᾶσθαι πρὸς τὸ τραχύ.
going outside to-rub-themselves against the rough
19 θαυμάζειν δὲ τῶν ἀνθρώπων τὸ τὸν μὲν πόδα μὴ θέλειν
to-wonder and of-the men the the indeed foot not to-wish
ἀργυρίου κνᾶσθαι μηδὲ τὴν χεῖρα μηδὲ ἄλλο μηδὲν
for-money to-be-scratched nor the hand nor other anything
τοῦ σώματος, μηδὲ τοὺς πάνυ πλουσίους ἀναλῶσαι ἂν
of-the body nor the very rich to-spend —
μηδεμίαν ὑπὲρ τούτου δραχμήν· ἓν δὲ ἐκεῖνο τὸ μέρος
a-single for this drachma one but that the part
πολλάκις πολλῶν ταλάντων, τοὺς δέ τινας ἤδη καὶ
often for-many talents the and some already even
τῇ ψυχῇ παραβαλλομένους.
with-the life staking
20 ἔλεγε δὲ παίζων τὴν συνουσίαν ταύτην εὕρεμα εἶναι
he-said and jesting the intercourse this invention to-be
τοῦ Πανός, ὅτε τῆς Ἠχοῦς ἐρασθεὶς οὐκ ἐδύνατο
— of-Pan when — with-Echo having-fallen-in-love not he-could

λαβεῖν, ἀλλ᾽ ἐπλανᾶτο ἐν τοῖς ὄρεσι νύκτα καὶ ἡμέραν,
to-take but wandered in the mountains night and day
τότε οὖν τὸν Ἑρμῆν διδάξαι αὐτόν, οἰκτείραντα τῆς
then then — Hermes to-teach him having-pitied for-the
ἀπορίας, ἅτε υἱὸν αὐτοῦ. καὶ τόν, ἐπεὶ ἔμαθε, παύσασθαι
helplessness as son his and he when he-learned to-have-ceased
τῆς πολλῆς ταλαιπωρίας· ἀπ᾽ ἐκείνου δὲ τοὺς ποιμένας
from-the much misery from him and the shepherds
χρῆσθαι μαθόντας.
to-use having-learned

II · SOFTNESS AND THE TYRANT'S FEAR

Men live more wretchedly than beasts through softness: animals need no fire, houses, or doctors, while men, for all their contrivances, die young of nameless diseases; Prometheus was punished for giving fire, the source of luxury. Diogenes lives as the gods do, easily, moving with the seasons as storks and deer do, free of lawsuits and wars. He thinks himself happier than the Persian king, who fears poverty amid his gold, fears disease and death, trusts no one, flees from the unarmed to the armed and back, and, unlike any prisoner or exile, has no hope of release.

τὰ μὲν οὖν τοιαῦτα ἐνίοτε τῶν ἀνθρώπων καταγελῶν 21
the indeed then such-things sometimes of-the men mocking
ἔλεγεν τῶν τετυφωμένων καὶ ἀνοήτων· μάλιστα δὲ ὕβριζε
he-said of-the deluded and senseless most but he-insulted
τοὺς σοφιστὰς τοὺς σεμνοὺς εἶναι θέλοντας καὶ πλέον
the sophists those august to-be wishing and more
τι τῶν ἄλλων εἰδέναι οἰομένους. ἔλεγε δὲ διὰ τὴν
something than-the others to-know thinking he-said and because-of the
μαλακίαν τοὺς ἀνθρώπους ἀθλιώτερον ζῆν τῶν θηρίων.
softness the men more-wretchedly to-live than-the beasts

22 ἐκεῖνα γὰρ ὕδατι μὲν ποτῷ χρώμενα, τροφῇ δὲ βοτάνῃ,
those for water indeed for-drink using for-food and grass
τὰ πολλὰ δὲ αὐτῶν γυμνὰ ὄντα δι᾽ ἔτους, εἰς οἰκίαν
the many and of-them naked being through year into house
δὲ οὐδέποτε εἰσιόντα, πυρὶ δὲ οὐδὲν χρώμενα, ζῆν μὲν
and never entering fire and nothing using to-live indeed
ὁπόσον ἡ φύσις ἑκάστοις ἔταξε χρόνον, ἐὰν μηδεὶς
as-much-as the nature to-each appointed time if no-one
ἀναιρῇ· ἰσχυρὰ δὲ καὶ ὑγιαίοντα διάγειν ὁμοίως ἅπαντα,
destroys strong and and healthy to-pass-life alike all
δεῖσθαι δὲ μηδὲν ἰατρῶν μηδὲ φαρμάκων.
to-need and nothing of-doctors nor of-drugs

23 τοὺς δὲ ἀνθρώπους οὕτως μὲν πάνυ φιλοζώους ὄντας,
the but men so indeed very life-loving being
τοσαῦτα δὲ μηχανωμένους πρὸς ἀναβολὴν τοῦ θανάτου,
so-many-things and contriving for postponement of-the death
τοὺς μὲν πολλοὺς αὐτῶν μηδὲ εἰς γῆρας ἀφικνεῖσθαι,
the indeed many of-them not-even to old-age to-arrive
ζῆν δὲ νοσημάτων γέμοντας, ἃ μηδὲ ὀνομάσαι ῥᾴδιον,
to-live and with-diseases full which not-even to-name easy
τὴν δὲ γῆν αὐτοῖς μὴ ἐξαρκεῖν παρέχουσαν φάρμακα,
the and earth to-them not to-suffice providing drugs
δεῖσθαι δὲ καὶ σιδήρου καὶ πυρός.
to-need and also iron and fire

24 καὶ μήτε Χείρωνος μήτε Ἀσκληπιοῦ μήτε τῶν Ἀσκληπιαδῶν
and neither Chiron nor Asclepius nor the Asclepiads
ἰωμένων μηδὲν αὐτοῖς ὄφελος εἶναι διὰ τὴν αὐτῶν
healing no to-them benefit to-be because-of the their
ἀκολασίαν καὶ πονηρίαν, μηδὲ μάντεων μαντευομένων
licentiousness and wickedness nor prophets prophesying
μηδὲ ἱερέων καθαιρόντων.
nor priests purifying

εἰς δὲ τὰς πόλεις συνελθόντας, ὅπως ὑπὸ τῶν ἔξωθεν μὴ 25
into and the cities having-come-together so-that by the(-ones) from-outside not
ἀδικῶνται, τοὐναντίον αὐτοὺς ἀδικεῖν καὶ τὰ δεινότατα
they-may-be-wronged on-the-contrary themselves to-wrong and the most-terrible
πάντα ἐργάζεσθαι, ὥσπερ ἐπὶ τούτῳ ξυνεληλυθότας.
all to-do as for this having-come-together
διὰ ταῦτα δὲ δοκεῖν αὐτῷ καὶ τὸν μῦθον λέγειν ὡς
because-of these-things and to-seem to-him also the myth to-say that
τὸν Προμηθέα κολάζοι ὁ Ζεὺς διὰ τὴν εὕρεσιν καὶ
— Prometheus punished — Zeus because-of the discovery and
μετάδοσιν τοῦ πυρός, ὡς ἀρχὴν τοῦτο καὶ ἀφορμὴν τοῖς
giving of-the fire as beginning this and starting-point for-the
ἀνθρώποις μαλακίας καὶ τρυφῆς. οὐ γὰρ δὴ τὸν Δία
men of-softness and luxury not for indeed — Zeus
μισεῖν τοὺς ἀνθρώπους οὐδὲ φθονεῖν αὐτοῖς ἀγαθοῦ τινος.
to-hate the men nor to-begrudge them good any
ἐπεὶ δὲ ἔλεγόν τινες οὐ δυνατὸν εἶναι ζῆν τὸν ἄνθρωπον 26
since and said some not possible to-be to-live the man
ὁμοίως τοῖς ἄλλοις ζῴοις διὰ τὴν ἁπαλότητα τῶν
like the other animals because-of the tenderness of-the
σαρκῶν καὶ διότι ψιλός ἐστιν, οὔτε θριξὶ σκεπόμενος,
flesh and because bare he-is neither with-hair covered
ὥσπερ τὰ πολλὰ τῶν θηρίων, οὔτε πτεροῖς,
as the many of-the beasts nor with-feathers
οὐδὲ δέρμα ἰσχυρὸν ἐπαμπέχεται, πρὸς ταῦτα ἀντέλεγεν, 27
nor skin strong is-wrapped-about against these-things he-replied
οὕτως μὲν σφόδρα ἁπαλοὺς εἶναι διὰ τὴν δίαιταν·
so indeed very tender to-be because-of the way-of-life
φεύγειν μὲν γὰρ ὡς τὸ πολὺ τὸν ἥλιον, φεύγειν δὲ τὸ
to-flee indeed for as the most the sun to-flee and the
ψῦχος· τὴν δὲ ψιλότητα τοῦ σώματος μηδὲν ἐνοχλεῖν.
cold the and bareness of-the body nothing to-trouble

ἐπεδείκνυε δὲ τούς τε βατράχους καὶ ἄλλα οὐκ ὀλίγα
he-pointed-to and the both frogs and other not few
ζῷα πολὺ μὲν ἁπαλώτερα ἀνθρώπου, πολὺ δὲ ψιλότερα,
animals much indeed more-tender than-man much and barer
καὶ ἔνια τούτων ἀνεχόμενα οὐ τὸν ἀέρα μόνον, ἀλλὰ
and some of-these enduring not the air only but
καὶ ἐν τῷ ψυχροτάτῳ ὕδατι ζῆν δυνάμενα τοῦ χειμῶνος.
even in the coldest water to-live able in-the winter
28 ἐπεδείκνυε δὲ τῶν ἀνθρώπων αὐτῶν τούς τε ὀφθαλμοὺς
he-pointed-to and of-the men themselves the both eyes
καὶ τὸ πρόσωπον οὐδὲν δεόμενα σκέπης. καθόλου δὲ
and the face nothing needing covering in-general and
ἐν μηδενὶ τόπῳ γίγνεσθαι ζῷον, ὃ μὴ δύναται ζῆν
in no place to-be-born animal which not can to-live
ἐν αὐτῷ· ἢ πῶς ἂν ἐσώθησαν οἱ πρῶτοι ἄνθρωποι
in it or how — would-have-been-saved the first men
γενόμενοι, μήτε πυρὸς ὄντος μήτε οἰκιῶν μήτε ἐσθῆτος
having-been-born neither fire being nor houses nor clothing
μήτε ἄλλης τροφῆς ἢ τῆς αὐτομάτου; ἀλλὰ τὴν
nor other food than the spontaneous but the
πανουργίαν τοῖς ὕστερον καὶ τὸ πολλὰ εὑρίσκειν καὶ
cunning to-those later and the many-things to-discover and
μηχανᾶσθαι πρὸς τὸν βίον οὐ πάνυ τι συνενεγκεῖν.
to-contrive for the life not very at-all to-have-helped
29 οὐ γὰρ πρὸς ἀνδρείαν οὐδὲ δικαιοσύνην χρῆσθαι τῇ σοφίᾳ
not for for courage nor justice to-use the wisdom
τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς ἡδονήν· διώκοντας οὖν τὸ ἡδὺ
the men but for pleasure pursuing then the pleasant
ἐξ ἅπαντος ἀεὶ ζῆν ἀηδέστερον καὶ ἐπιπονώτερον, καὶ
from every-source always to-live more-unpleasantly and more-toilsomely and

δοκοῦντας προμηθεῖσθαι σφῶν αὐτῶν κάκιστα ἀπόλλυσθαι
seeming to-take-forethought for themselves most-wretchedly to-perish
διὰ τὴν πολλὴν ἐπιμέλειάν τε καὶ προμήθειαν.
because-of the much care both and forethought
καὶ οὕτως δὴ τὸν Προμηθέα δικαίως λέγεσθαι δεδεμένον ἐν 30
and so indeed — Prometheus justly to-be-said bound on
πέτρᾳ κείρεσθαι τὸ ἧπαρ ὑπὸ τοῦ ἀετοῦ. ὁπόσα μὲν οὖν
rock to-be-shorn the liver by the eagle as-many-as indeed then
πολυδάπανα καὶ δεόμενα πραγματείας καὶ ταλαιπωρίας,
costly and needing trouble and hardship
ταῦτα μὲν ἀφῄρει καὶ βλαβερὰ τοῖς χρωμένοις
these-things indeed he-removed and harmful to-those using
ἀπέφαινεν· ὅσα δὲ ῥᾳδίως καὶ ἀπραγμόνως ἔστιν
declared as-many-as but easily and without-trouble it-is-possible
ἐπικουρεῖν τῷ σώματι καὶ πρὸς χειμῶνα καὶ πρὸς λιμὸν καὶ
to-help the body both against winter and against hunger and
πρὸς τὸ παῦσαί τινα ὄρεξιν τοῦ σώματος, οὐ παρέπεμπεν
for the to-stop any appetite of-the body not he-passed-by
οὐδὲν αὐτῶν, ἀλλὰ καὶ τόπους ᾑρεῖτο τοὺς ὑγιεινοὺς
any of-them but also places he-chose the healthy
μᾶλλον ἢ τοὺς νοσώδεις καὶ τοὺς εὐφόρους ἑκάστῃ ὥρᾳ,
rather than the unhealthy and the comfortable in-each season
καὶ τροφῆς ὅπως εὐπορήσει τῆς ἱκανῆς ἐπεμελεῖτο 31
and of-food how he-will-be-supplied of-the sufficient he-took-care
καὶ ἐσθῆτος τῆς μετρίας, πραγμάτων δὲ καὶ δικῶν καὶ
and of-clothing the moderate of-affairs but and lawsuits and
φιλονικιῶν καὶ πολέμων καὶ στάσεων ἐκτὸς ἦν. καὶ
rivalries and wars and factions outside he-was and
μάλιστα ἐμιμεῖτο τῶν θεῶν τὸν βίον· ἐκείνους γὰρ μόνους
most he-imitated of-the gods the life those for alone

φησὶν Ὅμηρος ῥᾳδίως ζῆν, ὡς τῶν ἀνθρώπων ἐπιπόνως καὶ
says Homer easily to-live as the men toilsomely and
χαλεπῶς βιούντων. τὰ δὲ τοιαῦτα ἔφη καὶ τὰ θηρία διορᾶν.
with-difficulty living the and such-things he-said also the beasts to-perceive
32 τοὺς μὲν γὰρ πελαργοὺς τὰ θερμὰ τοῦ θέρους ἀπολείποντας
the indeed for storks the hot of-the summer leaving
εἰς τὸν εὔκρατον ἀέρα ἀφικνεῖσθαι, καὶ διαγαγόντας ἐνταῦθα
into the temperate air to-arrive and having-spent there
ὁπόσον ἥδιστον τοῦ χρόνου, μετὰ ταῦτα ἀθρόους ἀπιέναι,
as-much-as most-pleasant of-the time after these-things in-a-body to-depart
τὸν χειμῶνα ὑποχωροῦντας, τὰς δὲ γεράνους ἐπιφοιτᾶν τῷ
the winter withdrawing-from the and cranes to-come-to the
σπόρῳ, χειμῶνα μετρίως φερούσας, καὶ τῆς τροφῆς ἕνεκα.
sowing winter moderately bearing and of-the food for-the-sake
33 τὰς δὲ ἐλάφους καὶ τοὺς λαγὼς τοῦ μὲν ψύχους εἰς τὰ
the and deer and the hares in-the indeed cold into the
πεδία καὶ τὰ κοῖλα καταβαίνειν ἐκ τῶν ὀρῶν, κἀνταῦθα
plains and the hollows to-come-down from the mountains and-there
ὑποστέλλειν τοῖς ἀπηνέμοις καὶ προσηνέσι, τοῦ δὲ καύματος
to-shelter in-the windless and gentle in-the and heat
εἰς τὴν ὕλην ἀποχωρεῖν καὶ τὰ βορειότατα τῶν χωρίων.
into the wood to-withdraw and the most-northerly of-the places
34 ὁρῶν δὲ τοὺς ἄλλους ἀνθρώπους ἅπαντα μὲν τὸν βίον
seeing and the other men all indeed the life
ταραττομένους, ἅπαντα δὲ ἀλλήλοις ἐπιβουλεύοντας,
disturbed all and against-one-another plotting
ἀεὶ δὲ ἐν κακοῖς ὄντας μυρίοις, μηδέποτε δὲ ἡσυχίαν
always and in evils being countless never and quiet
δυναμένους ἄγειν, ἀλλὰ μηδὲ ἐν ταῖς ἱερομηνίαις μηδὲ ἂν
able to-keep but not-even in the holy-months nor if
ἐκεχειρίαν ἐπαγγέλλωσι, καὶ ταῦτα ξύμπαντα δι᾽ οὐδὲν
truce they-proclaim and these-things all for nothing

ἕτερον τὰ μὲν δρῶντας, τὰ δὲ πάσχοντας,
other the(-things) indeed doing the(-things) and suffering
ἢ ὅπως ζῆν δυνήσονται, καὶ μάλιστα δὴ δεδιότας
than so-that to-live they-will-be-able and most indeed fearing
μήποτε αὐτοὺς ἐπιλίπῃ τἀναγκαῖα δὴ λεγόμενα, ἔτι
lest-ever them may-fail the-necessities indeed so-called further
δὲ φροντίζοντας καὶ ζητοῦντας ὅπως παισὶ τοῖς αὑτῶν
and taking-thought and seeking how to-children the their-own
καταλίπωσι πολλὰ χρήματα, ἐθαύμαζεν ὅτι μηδὲν αὐτὸς
they-may-leave much money he-wondered that nothing he-himself
πράττοι τοιοῦτον, ἀλλὰ μόνος δὴ τῶν ἁπάντων ἐλεύθερός
did such but alone indeed of-the all free
ἐστι καὶ οὐδεὶς ἄλλος συνίησι τῆς αὑτοῦ μάλιστα εὐδαιμονίας.
is and no-one other perceives the his-own very happiness
ὥστε οὐκέθ' αὑτὸν ἠξίου τῷ Περσῶν βασιλεῖ 35
so-that no-longer himself he-thought-fit to-the of-Persians king
παραβάλλειν· πολὺ γὰρ εἶναι τὸ μεταξύ. τὸν μὲν
to-compare much for to-be the between the(-one) indeed
γὰρ ἀθλιώτατον ἁπάντων τυγχάνειν, φοβούμενον μὲν
for most-wretched of-all to-happen fearing indeed
ἐν τοσούτῳ χρυσῷ πενίαν, φοβούμενον δὲ νόσους, τῶν
in so-much gold poverty fearing and diseases from-the
δὲ νοσερῶν ἀπέχεσθαι μὴ δυνάμενον, ἐκπεπληγμένον δὲ
and unhealthy-things to-abstain not being-able terrified-of and
τὸν θάνατον, καὶ πάντας ἐπιβουλεύειν αὐτῷ νομίζοντα
the death and all to-plot-against him thinking
μέχρι τῶν παίδων τε καὶ ἀδελφῶν.
as-far-as the children both and brothers
διὰ δὲ ταῦτα μήτε ἐσθίοντα ἥδεσθαι, τῶν ἡδίστων 36
because-of and these-things neither eating to-take-pleasure the sweetest
αὐτῷ παρόντων, μήτε πίνοντα ἐπιλανθάνεσθαι τῶν
to-him being-present nor drinking to-forget the

ὀχληρῶν. μηδεμίαν δὲ ἡμέραν διάγειν ῥᾳδίως, ἐν ᾗ
troublesome-things no and day to-pass easily in which
βλέπειν αὐτὸν εἶναι μὴ τὰ δεινότατα πάσχοντα. καὶ τοῦτο
to-see himself to-be not the most-terrible suffering and at-one-time
μὲν νήφοντα ἐπιθυμεῖν μέθης, ὡς τότε ἀπαλλαγησόμενον
indeed sober to-desire drunkenness as then going-to-be-freed
τῶν συμφορῶν, τοῦτο δ' αὖ μεθύοντα ἀπολωλέναι
from-the misfortunes at-another and in-turn drunk to-have-perished
νομίζειν, ὡς ἀδύνατον αὑτῷ βοηθεῖν.
to-think as impossible for-himself to-help

37 ἔτι δὲ ἐγρηγορότα μὲν εὔχεσθαι καθυπνῶσαι, ὅπως
further and awake indeed to-pray to-fall-asleep so-that
ἐπιλάθηται τῶν φόβων, κοιμώμενον δὲ ἀναστῆναι τὴν
he-may-forget the fears sleeping but to-get-up the
ταχίστην, ἅτε ὑπ' αὐτῶν τῶν ἐνυπνίων ἀπολλύμενον· τῆς δὲ
quickest as by very the dreams perishing of-the and
χρυσῆς αὐτῷ πλατάνου καὶ τῶν Σεμιράμιδος οἰκοδομημάτων
golden to-him plane-tree and the of-Semiramis buildings
καὶ τῶν ἐν Βαβυλῶνι τειχῶν μηδὲν ὄφελος γιγνόμενον.
and the in Babylon walls no benefit becoming

38 τὸ δὲ δὴ πάντων παραλογώτατον, φοβεῖσθαι μὲν τοὺς
the and indeed of-all most-unreasonable to-fear indeed the
ἀνόπλους, πιστεύειν δὲ αὐτὸν τοῖς ὡπλισμένοις, καὶ
unarmed to-trust and himself to-the armed and
διερευνᾶσθαι μὲν τοὺς προσιόντας, μή τις ἔχοι σίδηρον,
to-search indeed those approaching lest anyone have iron
ἐν μέσῳ δὲ ζῆν τῶν σιδηροφορούντων. φεύγειν δὲ ἀπὸ
in middle but to-live the iron-bearing to-flee and from
μὲν τῶν ἀνόπλων πρὸς τοὺς ὡπλισμένους, ἀπὸ δὲ
indeed the unarmed to the armed from and
τῶν ὡπλισμένων πρὸς τοὺς ἀνόπλους· ἀπὸ μέν γε
the armed to the unarmed from indeed at-least

τοῦ πλήθους φυλάττεσθαι τοῖς δορυφόροις, ἀπὸ δὲ τῶν
the multitude to-be-guarded by-the spearmen from and the
δορυφόρων εὐνούχοις. οὐκ ἔχειν δὲ οἷς ἂν πιστεύσας οὐδὲ
spearmen by-eunuchs not to-have and whom — having-trusted nor
ὅποι τραπόμενος δυνήσεται ζῆσαι μίαν ἡμέραν ἀφόβως.
where having-turned he-will-be-able to-live one day without-fear
ὑφορᾶσθαι δὲ καὶ τὰ σιτία καὶ τὸ ποτόν, καὶ τοὺς 39
to-suspect and also the food and the drink and those
προπειράσοντας ταῦτα ἔχειν, ὥσπερ ἐν ὁδῷ πολεμίων
going-to-taste-first these-things to-have as on road with-enemies
γεμούσῃ τοὺς προερευνῶντας. ἀλλὰ μηδὲ τοῖς ἀναγκαίοις
full those scouting-ahead but not-even the closest
θαρρεῖν, μήτε παισὶ μήτε γυναικί. οὕτως δὲ χαλεποῦ
to-trust either children or wife so and harsh
ὄντος πράγματος καὶ δυστυχοῦς τῆς μοναρχίας, μηδὲ
being thing and unfortunate the monarchy not-even
ἀπαλλαγῆναί ποτε αὐτοῦ μήτε βούλεσθαι μήτε δύνασθαι.
to-be-freed ever from-it either to-wish or to-be-able
καίτοι πάντα ὅσα δεινὰ τοῖς ἀνθρώποις παραμυθίαν 40
and-yet all as-many-as terrible-things to-the men consolation
ἔχει τὸ τυχὸν ἂν παύσασθαι αὐτῶν. καὶ γὰρ ὅστις
have the perhaps — to-cease from-them and for whoever
ὑπὸ δεσμῶν ἔχεται, προσδοκᾷ ποτε λυθῆναι, καὶ τῷ
by bonds is-held expects sometime to-be-released and to-the
τὴν πατρίδα φεύγοντι οὐκ ἀδύνατον κατελθεῖν, καὶ τῷ
the fatherland exile not impossible to-return and to-the
νοσοῦντι μέχρι τῆς τελευτῆς ἔστιν ἐλπίζειν τὴν ὑγίειαν·
sick-man until the end it-is-possible to-hope the health
τῷ δὲ οὐκ ἔστιν ἀπαλλαγῆναι τοῦ πράγματος, ἀλλ᾽
to-him but not it-is-possible to-be-freed from-the thing but
οὐδ᾽ εὔξασθαι γοῦν, εἰ μή τι ἕτερον. ὅσοις δὲ
not-even to-pray at-least if not anything other to-as-many-as and

ἀνιᾶσθαι συμβέβηκε τῶν φίλων τινὸς ἀποθανόντος, σαφῶς
to-grieve has-happened of-the friends someone having-died clearly
ἐπίστανται ὅτι παύσονταί ποτε λυπούμενοι τῷ χρόνῳ·
know that they-will-cease sometime grieving with-the time
τῷ δὲ τοὐναντίον ἐπιτείνεται μᾶλλον τὰ χαλεπά.
to-him but on-the-contrary is-intensified more the hardships

III · THE TYRANT'S MISERY

A tyrant cannot grow old in safety; death is nothing, but its fear is worse than death, and he lives with it day and night, even in his pleasures, rejoicing only when the blow falls. Unlike other men in their misfortunes, he thinks his evils goods. Both life and death are harder for him than for others; he fears the rich and the poor, is thanked by no one, envied by all, and threatened by peace and war alike, like a man shut in a cell bristling with swords, worse off than Tantalus. Diogenes, by contrast, walks safely anywhere, and no earthquake or famine could make him poorer.

41 οὐ ῥᾴδιον μὲν γὰρ ἄνδρα γηρᾶσαι τύραννον, χαλεπὸν
not easy indeed for man to-grow-old tyrant hard
δὲ τυράννου γῆρας, οὐχ οἷον ἵππου φασίν. οἵ τε
and of-tyrant old-age not like of-horse they-say those both
γὰρ πεπονθότες κακῶς πλείους οἵ τε καταφρονοῦντες·
for having-suffered badly more those and despising
αὐτὸς δὲ τῷ σώματι βοηθεῖν ἀδύνατος αὑτῷ. πάντα
he-himself and with-the body to-help unable himself all
μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς
indeed then the terrible-things are-by-nature more to-terrify those
προσδεχομένους ἢ λυπεῖν τοὺς πειραθέντας, καὶ πενία
expecting-them than to-pain those having-experienced-them both poverty

καὶ φυγὴ καὶ δεσμοὶ καὶ ἀτιμία. τοῦ θανάτου δὲ εἴ τις
and exile and bonds and disgrace of-the death but if anyone
ἀφέλοι τὸ δέος, οὐδὲν ὑπολείπεται δυσχερές·
took-away the fear nothing remains troublesome
οὐ γὰρ μόνον αὐτὸς οὐκ ἐνοχλεῖ τοὺς παθόντας, ἀλλ' 42
not for only it-itself not troubles those having-suffered-it but
οὐδὲν ἔτι λυποῦνται. ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν
nothing further they-grieve the but fear so hard is
ὥστε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον· οἱ μὲν γὰρ
that many already anticipated the deed those indeed for
ἐν νηὶ χειμαζόμενοι οὐ περιέμειναν καταδῦναι τὴν ναῦν,
in ship storm-tossed not waited-for to-sink the ship
ἀλλὰ πρότερον αὑτοὺς ἀπέσφαξαν, οἱ δὲ πολεμίων
but before themselves slew those and enemies
περιειληφότων, σαφῶς εἰδότες ὅτι οὐδὲν πείσονται
having-surrounded-them clearly knowing that nothing they-will-suffer
δεινότερον.
more-terrible
τοῦτο δὴ τὸ χαλεπὸν ἀεὶ πάρεστι τοῖς μονάρχοις, ὁμοίως 43
this indeed the hard always is-present to-the monarchs alike
μὲν ἡμέρας, ὁμοίως δὲ νυκτός. καὶ τοῖς μὲν καταδικασθεῖσιν
indeed by-day alike and by-night and to-the indeed condemned
ἡμέρα ῥητὴ πρόκειται, ἐν ᾗ δεῖ ἀποθνήσκειν,
day appointed lies-ahead in which it-is-needful to-die
τοῖς δὲ καὶ τοῦτο ἄδηλον, εἴτε μετ' ὀλίγον εἴτε ἤδη,
to-the(-ones) but even this uncertain whether after little or already
καὶ οὐδεὶς καιρός, οὐδὲ ὁ βραχύτατος, ἀπήλλακται τούτου
and no time not-even the briefest is-freed from-this
τοῦ δέους, ἀλλὰ καὶ ἐσθίοντα ἀνάγκη δεδιέναι καὶ θύοντα
the fear but even eating necessity to-fear and sacrificing
τοῖς θεοῖς καὶ συμπίνειν τούτῳ τῷ φόβῳ καὶ συγκαθεύδειν.
to-the gods and to-drink-with this the fear and to-sleep-with-it

44 εἰ δέ ποτε ἐπέλθοι παίζειν τοῖς τοιούτοις, καὶ πρὸς
if and ever it-should-occur to-sport to-the such and at
ἀφροδισίοις γιγνόμενος, ἐὰν καὶ πάνυ τύχῃ ἐρῶν,
sex being if even very he-happens loving
μέμνηται τοῦ θανάτου, ὡς τυχὸν ὑπ᾽ αὐτῶν τῶν ἐρωμένων
he-remembers the death as perhaps by very the beloved
ἀπολούμενος, ὥστε μοι δοκεῖ τότε μόνον χαίρειν,
going-to-perish so-that to-me it-seems then only to-rejoice
45 ἐπειδὰν πληγῇ, ἀνὴρ τύραννος, ὡς τοῦ μεγίστου κακοῦ
when is-struck man tyrant as from-the greatest evil
ἀπηλλαγμένος. τὸ δὲ πάντων ἀτοπώτατον, οἱ μὲν γὰρ
having-been-freed the and of-all most-absurd the indeed for
ἄλλοι ἴσασιν ἐν ταῖς ἀνιάτοις γιγνόμενοι συμφοραῖς, ὥστε
others know in the incurable being misfortunes so-that
οὐ πολὺν χρόνον κακοπαθοῦσιν, οἷς ἂν μὴ ἀδύνατον
not long time they-suffer to-whom — not impossible
ᾖ τὸ ἀποθνήσκειν· οἱ δὲ τύραννοι τὰ μέγιστα κακὰ
may-be the dying the but tyrants the greatest evils
ἔχοντες ἐν τοῖς μεγίστοις νομίζουσιν ἀγαθοῖς εἶναι, οἶμαι
having in the greatest think goods to-be I-think
τῇ δόξῃ τῶν ἄλλων ἀνθρώπων ἐξηπατημένοι τῶν
by-the opinion of-the other men deceived of-the
ἀπείρων τοῦ πράγματος. καὶ ταύτην ὁ θεὸς αὐτοῖς τὴν
inexperienced of-the matter and this the god to-them the
ἄγνοιαν συνέζευξεν, ἵνα παραμένωσι κολαζόμενοι.
ignorance yoked-together so-that they-may-remain being-punished
46 δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων ὁ μὲν
it-seems and to-the indeed well faring of-the men the indeed
βίος ἀμείνων, ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος·
life better the and death because-of this more-painful

οἱ δὲ αὖ κακῶς ζῶντες τὸν βίον δοκοῦσι δυσχερέστερον 47
those but in-turn badly living the life seem with-more-difficulty
φέρειν, τὸν δὲ θάνατον ἥδιον προσδέχεσθαι. τοῖς δέ
to-bear the but death more-gladly to-accept to-the and
γε τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα ἢ τοῖς
at-least tyrants both these-things harder than for-the
ἄλλοις· ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ
others they-live indeed for much more-unpleasantly than-those very
ἐπιθυμούντων τεθνάναι, τὸν δὲ θάνατον οὕτω δεδοίκασιν
desiring to-be-dead the but death so they-fear
ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.
as most-pleasantly passing in the life
πεφυκότος δὲ τοῦ τὰ μὲν ἡδέα μᾶλλον εὐφραίνειν, ὅταν ᾖ 48
being-natural and the the indeed pleasant more to-gladden when they-be
σπάνια, τοῖς δὲ συνεχῶς χρωμένοις εἰς ἀηδίαν περιίστασθαι,
rare to-those but continually using into disgust to-turn
τὰ δὲ κακὰ χαλεπώτερα εἶναι μηδέποτε ἀπαλλαττόμενα,
the but evils harder to-be never departing
σχεδὸν ἀμφότερα τοῖς τυράννοις καὶ τὰ ἡδέα καὶ τὰ
nearly both to-the tyrants both the pleasant and the
λυπηρὰ ἀεὶ πάρεστιν, ὡς λυπούμενον μὲν μηδέποτε
painful always are-present so-that grieving indeed never
παύεσθαι σχεδόν, ἡδόμενον δὲ μηδέποτε αἰσθάνεσθαι.
to-cease nearly pleased and never to-perceive
δέδοικε δὲ ἀεί ποτε τῶν μὲν πλουσίων τὴν δύναμιν, τῶν 49
he-fears and always ever of-the indeed rich the power of-the
δὲ ἀπόρων τὴν ἐπιθυμίαν τοῦ πλούτου. μόνοις δὲ τοῖς
and needy the desire of-the wealth to-alone and the
μονάρχοις τῶν μὲν εὖ παθόντων οὐδεὶς οἶδε χάριν·
monarchs of-those indeed well having-been-treated no-one knows gratitude

οὐδέποτε γὰρ ἡγοῦνται τῶν ἱκανῶν τυγχάνειν· οἱ δὲ μὴ
never for they-think of-the sufficient to-obtain those and not
τυγχάνοντες ὧν βούλονται πάντων μάλιστα μισοῦσιν αὐτούς.
obtaining what they-wish of-all most hate them
50 καὶ μὴν ἐπιφθονώτατος ἁπάντων ὁ πλεῖστα μὴ
and indeed most-envied of-all the(-one) most not
δικαίως ἔχων· ὥστε οὐδεὶς τυράννου ἐπιφθονώτερός ἐστιν.
justly having so-that no-one than-tyrant more-envied is
πρὸς δὲ τούτοις ἀνάγκη μὲν αὐτῷ χαρίζεσθαι τοῖς περὶ
besides and these necessity indeed for-him to-gratify the(-ones) about
αὐτόν· εἰ δὲ μή, τάχιστα ἀπολεῖται. χαρίζεσθαι δὲ πολλάκις
him if but not most-quickly he-will-perish to-gratify and often
πολλοῖς οὐ ῥᾴδιον μὴ ἄλλων ἀφαιρούμενον. ἔχει δὴ καὶ
many not easy not from-others taking-away he-has indeed both
τοὺς ἀφαιρεθέντας ἐχθροὺς καὶ τοὺς εἰληφότας ὑπόπτους
those robbed enemies and those having-received suspect
καὶ ζητοῦντας ὅτι τάχιστα ἀπηλλάχθαι. τὰ μὲν οὖν
and seeking as most-quickly to-be-rid-of-him the(-things) indeed then
πόρρω διὰ τὸ πολὺ ἀφεστάναι φοβεῖται, τὰ δὲ
far because-of the much to-stand-apart he-fears the(-things) and
ἐγγύς, ὅτι πλησίον ἐστὶν αὐτῷ, καὶ παρὰ μὲν τῶν
near because near they-are to-him and from indeed those
μακρόθεν ὑφορᾶται πόλεμον, παρὰ δὲ τῶν ἐγγὺς δόλον.
from-afar he-suspects war from and those near treachery
51 καὶ τὴν μὲν εἰρήνην ἀσύμφορον νομίζει διὰ τὴν τῶν
and the indeed peace disadvantageous he-considers because-of the of-the
ἀνθρώπων σχολήν, τὸν δὲ πόλεμον, ὅτι ἀνάγκη τοὺς
men leisure the and war because necessity the
ὑπηκόους ἐνοχλεῖν καὶ χρήματα πορίζοντα καὶ στρατεύεσθαι
subjects to-trouble both money providing and to-campaign

προσαναγκάζοντα. τοιγαροῦν πολέμου μὲν ὄντος εἰρήνης
compelling therefore war indeed being peace
ἐρῶσιν, εἰρήνης δὲ γενομένης εὐθὺς μηχανῶνται πόλεμον.
they-love peace and having-come at-once they-contrive war
καὶ τοῦτο μὲν τῶν ἐπιτηδείων ἀφθόνων ὄντων 52
and at-one-time indeed the provisions plentiful being
δεδοίκασι τοῦ πλήθους τὴν ὕβριν, τοῦτο δὲ εἴ τις ἔνδεια
they-fear of-the multitude the insolence at-another and if any want
καταλαμβάνοι, τὴν ὀργήν. ἡγοῦνται δὲ μήτε ἀποδημεῖν
should-seize the anger they-think and neither to-go-abroad
ἀσφαλὲς μήτε μένειν μήτε προϊέναι μήτ' ἔνδον διαιτᾶσθαι
safe nor to-stay nor to-go-forth nor inside to-live
παρ' αὑτοῖς, ἀλλὰ μηδὲ ἐπιβαίνειν οὗ ἂν ἐπιβαίνωσιν,
among themselves but not-even to-tread where — they-tread
ἅπαντα δὲ εἶναι μεστὰ ἐνέδρας καὶ δόλων.
all and to-be full of-ambush and of-tricks
ἀναλογίζεται δὲ ἕκαστος αὐτῶν καὶ τοὺς θανάτους τῶν 53
reckons and each of-them also the deaths of-the
τυράννων καὶ τὰς ἐπιβουλάς, ὅσαι πώποτε γεγόνασι,
tyrants and the plots as-many-as ever have-been
καὶ ξύμπαντα ταῦτα ἐφ' αὑτὸν ἰέναι νομίζει, καὶ οὕτως
and all these-things against himself to-come he-thinks and so
ἔχει περιφόβως ὡς ξύμπαντας ἐκείνους τοὺς θανάτους
is terrified as all those the deaths
ἀποθανούμενος· καὶ περιβλέπειν μὲν ἀεὶ καὶ περιστρέφεσθαι
going-to-die and to-look-around indeed always and to-turn-around
βούλεται, πληγήσεσθαι πανταχόθεν οἰόμενος, αὐτὸ δὲ
he-wishes to-be-going-to-be-struck from-everywhere thinking itself but
τοῦτο οὐκ ἔξεστι ποιεῖν ὑπὸ αἰσχύνης ἅμα καὶ φόβου.
this not it-is-possible to-do through shame together and fear

54 ὅσῳ γὰρ ἂν ἐνδηλότερος ᾖ φοβούμενος ἀνὴρ τύραννος,
by-as-much for — more-evident be fearing man tyrant
τοσούτῳ μᾶλλον ἐπιβουλεύουσι καταφρονοῦντες τῆς δειλίας.
by-so-much more they-plot despising the cowardice
ὥσπερ οὖν εἴ τις καθείρξειέ τινα ἐν εἱρκτῇ μικρᾷ,
as then if anyone should-shut-up someone in prison small
τῶν μὲν ἄνωθεν ξιφῶν κρεμαμένων, τῶν δὲ κυκλόθεν
of-the indeed from-above swords hanging of-the and round-about
περιπεπηγότων, καὶ τούτων ἁπτομένων τοῦ χρωτός·
fixed-around and these touching the skin
55 οὕτως οὐ τῷ σώματι μόνον, ἀλλὰ τῇ ψυχῇ τοῦ τυράννου
so not to-the body only but to-the soul of-the tyrant
περιπέπηγε τὰ ξίφη, ὥστε τὸν ἐν ᾅδου Τάνταλον, ὅν
are-fixed-around the swords so-that the in Hades Tantalus whom
φασι
they-say

κεφαλῆς ὑπερτέλλοντα δειμαίνειν πέτρον,
over-head towering to-dread rock

πολὺ ῥᾷον διάγειν. οὐ γὰρ δὴ ἔτι φοβεῖται ὁ
much more-easily to-pass-life not for indeed any-longer fears —
Τάνταλος μὴ ἀποθάνῃ· τῷ δὲ τυράννῳ ζῶντι τοῦτο
Tantalus lest he-die to-the but tyrant living this
ξυμβέβηκεν, ὃ ἐκείνῳ νεκρῷ λέγουσιν.
has-happened which to-that-one dead they-say
56 ὅσοι μὲν οὖν μιᾶς γεγόνασι τύραννοι πόλεως ἢ χώρας
as-many-as indeed then of-one have-been tyrants city or land
ὀλίγης, τούτοις μὲν οὐκ ἀδύνατον ἀποδράντας ἐκ τῆς
small to-these indeed not impossible having-run-away from the
ἀρχῆς ἀλλαχόσε ποι καταφυγόντας ζῆν· καίτοι οὐδεὶς
rule elsewhere somewhere having-fled to-live and-yet no-one

ἄνδρα ἀγαπᾷ τύραννον, ἀλλὰ μισοῦσί τε καὶ ὑποπτεύουσι
man loves tyrant but they-hate both and suspect
καὶ ῥᾳδίως ἐκδιδόασι τοῖς ἠδικημένοις· ὅσοι δὲ πολλῶν
and easily hand-over to-those wronged as-many-as but of-many
πόλεων ἄρχουσι καὶ ἐθνῶν καὶ ἀπείρου γῆς, ὥσπερ
cities rule and nations and boundless land as
ὁ τῶν Περσῶν βασιλεύς, τούτοις δὲ οὐδ' ἄν ποτε
the of-the Persians king to-these but not-even if ever
παραστῇ συνεῖναι τῶν κακῶν κἂν θεῶν τις ἀφέλῃ τὴν
it-should-occur to-perceive of-the evils even-if of-gods any takes-away the
ἄγνοιαν αὐτῶν, οὐ δυνατὸν ἐκφυγεῖν.
ignorance of-them not possible to-escape
δοκεῖ δὲ οὐδέποτε ἂν ἀσφαλῶς ζῆν, οὐδ' εἰ χαλκοῦς 57
he-seems and never — safely to-live not-even if bronze
ἢ σιδηροῦς γένοιτο, ἀλλὰ καὶ οὕτως ἂν κατακοπεὶς
or iron he-might-become but even so — having-been-cut-down
ἢ καταχωνευθεὶς ἀπολέσθαι. ἐὰν μὲν οὖν τις αὐτῷ
or melted-down to-perish if indeed then anyone with-him
διαλέγηται θαρρῶν, ὁ δὲ ὀργίζεται καὶ δέδοικε τὴν
converses boldly he and is-angered and fears the
παρρησίαν· ἐὰν δὲ θεραπεύων καὶ ὑποκατακλινόμενος,
frankness if but courting and cringing
ὑποπτεύει τὴν θεραπείαν.
he-suspects the courting
καὶ ὑπὸ μὲν τῶν ἐλευθερίως προσερχομένων οἴεται 58
and by indeed those freely approaching he-thinks
ὑβρίζεσθαι, ὑπὸ δὲ τῶν ταπεινοτέρων ἐξαπατᾶσθαι. καὶ
to-be-insulted by and the humbler to-be-deceived and
λοιδορούμενος μὲν πολλαπλασίως ἀνιᾶται ἢ ἄλλος,
being-reviled indeed many-times-over he-is-pained than another

ὅτι δὴ τύραννος ὢν ἀκούει κακῶς· ἐπαινούμενος
because indeed tyrant being he-is-spoken-of badly being-praised
δὲ οὐχ ἥδεται· οὐ γὰρ φρονοῦντας οὕτως οἴεται λέγειν.
but not he-is-pleased not for meaning-it so he-thinks to-say
59 τοῦ δὲ καλλίστου καὶ λυσιτελεστάτου κτήματος ἁπάντων
of-the and finest and most-profitable possession of-all
ἐστὶν ἀπορώτατος· εὐνοίας γὰρ καὶ φιλίας ἐλπίσαι οὐδὲν
he-is most-lacking of-goodwill for and friendship to-hope nothing
δύναται παρ᾽ οὐδενός, ἀλλὰ πρότερον τοὺς ἀγρίους
he-can from anyone but sooner the savage
λέοντας οἱ τρέφοντες ἀγαπήσουσιν ἢ τοὺς τυράννους
lions those rearing-them will-love than the tyrants
οἱ θεραπεύοντες καὶ προσιόντες.
those courting and approaching
60 ἐγὼ δὲ βαδίζω μὲν ὅποι βούλομαι, φησί, νύκτωρ, βαδίζω
I but walk indeed wherever I-wish he-says by-night I-walk
δὲ μεθ᾽ ἡμέραν μόνος, θαρρῶ δέ, εἰ δέοι, καὶ διὰ
and by day alone I-am-confident and if it-should-be-needful even through
στρατοπέδου πορευόμενος ἄνευ κηρυκείου καὶ διὰ λῃστῶν·
camp going without herald's-staff and through robbers
οὐδεὶς γὰρ ἐμοὶ πολέμιος οὐδὲ ἐχθρός ἐστι βαδίζοντι. ἂν
no-one for to-me enemy nor foe is walking if
δὲ ἅπας μὲν ἐκλίπῃ ὁ χρυσός, ἅπας δὲ ὁ ἄργυρος,
but all indeed should-fail the gold all and the silver
ἅπας δὲ ὁ χαλκός, οὐκ ἂν ἐγὼ βλαβείην οὐδὲ μικρόν.
all and the bronze not — I would-be-harmed even a-little
61 ἐὰν δὲ ἅπασαι μὲν αἱ οἰκίαι πέσωσιν ὑπὸ σεισμοῦ,
if and all indeed the houses fall by earthquake
καθάπερ ἐν Σπάρτῃ ποτέ, καὶ πάντα διαφθαρῇ τὰ
as in Sparta once and all should-perish the
πρόβατα, ὡς μηδένα ἐσθῆτος εὐπορῆσαι, μὴ μόνον
sheep so-that no-one with-clothing to-be-supplied not only

δὲ τὴν Ἀττικήν, ἀλλὰ καὶ Βοιωτίαν καὶ Πελοπόννησον
and — Attica but also Boeotia and Peloponnese
καὶ Θετταλίαν ἀπορία καταλάβῃ, ὥσπερ ἤδη πρότερόν
and Thessaly want should-seize as already earlier
φασιν, οὐδὲν ἐγὼ χεῖρον οὐδὲ ἀπορώτερον βιώσομαι.
they-say nothing I worse nor more-needy will-live
παρὰ πόσον μὲν γὰρ ἔσομαι γυμνότερος τοῦ νῦν, 62
by how-much indeed for shall-I-be more-naked than-the now
πόσῳ δὲ ἀοικότερος; ἱκανὰ δέ μοι τροφὴν παρασχεῖν
by-how-much and more-houseless sufficient and to-me food to-provide
καὶ μῆλα καὶ κέγχροι καὶ κριθαὶ καὶ ὄροβοι καὶ τὰ
both apples and millet and barley and vetches and the
εὐτελέστατα τῶν ὀσπρίων καὶ φηγὸς ὑπὸ τῇ τέφρᾳ καὶ
cheapest of-the pulses and acorn under the ash and
ὁ τῆς κρανείας καρπός, ᾗ φησιν Ὅμηρος εὐωχεῖν
the of-the cornel fruit with-which says Homer to-feast
τοὺς τοῦ Ὀδυσσέως ἑταίρους τὴν Κίρκην, ὑφ' ὧν ἀντέχει
the — of-Odysseus companions — Circe by which hold-out
τρεφόμενα καὶ τὰ μέγιστα θηρία.
being-nourished even the greatest beasts

THE EUBOEAN, OR THE HUNTER

I · SHIPWRECKED ON EUBOEA

Dio tells what he saw himself, as old men and wanderers love to talk. Wrecked on the Hollows of Euboea, he meets a hunter whose deer has leapt from a cliff into the surf; the hunter drags it out and skins it with Dio's help, and invites him to share the meat. Dio follows without fear, since poverty is inviolable, and on the way the hunter tells how his father and another hired cowherd were stranded when their rich master was put to death for his money and the herd, their own few cattle with it, driven off; they built huts in a sheltered valley and lived by hunting and a little farming. Each gave his daughter to the other's son, and they wanted no other life.

1 Τόδε μὴν αὐτὸς ἰδών, οὐ παρ' ἑτέρων ἀκούσας,
this indeed I-myself having-seen not from others having-heard
διηγήσομαι. ἴσως γὰρ οὐ μόνον πρεσβυτικὸν πολυλογία καὶ
will-narrate perhaps for not only old-man's-way talkativeness and
τὸ μηδένα διωθεῖσθαι ῥᾳδίως τῶν ἐμπιπτόντων λόγων, πρὸς
the no-one to-push-away easily of-the occurring words besides
δὲ τῷ πρεσβυτικῷ τυχὸν ἂν εἴη καὶ ἀλητικόν. αἴτιον δέ,
and the old-man's-way perhaps — it-would-be also wanderer's-way cause and
ὅτι πολλὰ τυχὸν ἀμφότεροι πεπόνθασιν, ὧν οὐκ ἀηδῶς
that many-things perhaps both have-experienced of-which not unpleasantly
μέμνηνται. ἐρῶ δ' οὖν οἵοις ἀνδράσι καὶ ὅντινα
they-remember I-will-tell and then with-what-sort-of men and what
βίον ζῶσι συνέβαλον ἐν μέσῃ σχεδόν τι τῇ Ἑλλάδι.
life they-live I-met in middle nearly somewhat — of-Greece
2 ἐτύγχανον μὲν ἀπὸ Χίου περαιούμενος μετά τινων
I-happened indeed from Chios crossing with some
ἁλιέων ἔξω τῆς θερινῆς ὥρας ἐν μικρῷ παντελῶς
fishermen outside of-the summer season in small altogether
ἀκατίῳ. χειμῶνος δὲ γενομένου χαλεπῶς καὶ μόλις
boat storm and having-arisen hardly and with-difficulty

διεσώθημεν πρὸς τὰ κοῖλα τῆς Εὐβοίας· τὸ μὲν δὴ
we-were-saved to the hollows — of-Euboea the indeed then
ἀκάτιον εἰς τραχύν τινα αἰγιαλὸν ὑπὸ τοῖς κρημνοῖς
boat on rough some beach under the cliffs
ἐκβαλόντες διέφθειραν, αὐτοὶ δὲ ἀπεχώρησαν πρός
having-run-aground they-wrecked themselves and departed to
τινας πορφυρεῖς ὑφορμοῦντας ἐπὶ τῇ πλησίον χηλῇ,
some purple-fishers anchoring by the near breakwater
κἀκείνοις συνεργάζεσθαι διενοοῦντο αὐτοῦ μένοντες.
and-with-those to-work-together intended there staying
καταλειφθεὶς δὴ μόνος, οὐκ ἔχων εἰς τίνα πόλιν σωθήσομαι, 3
having-been-left indeed alone not knowing to what city I-shall-be-saved
παρὰ τὴν θάλατταν ἄλλως ἐπλανώμην, εἴ πού τινας
along the sea aimlessly I-wandered if somewhere some
ἢ παραπλέοντας ἢ ὁρμοῦντας ἴδοιμι. προεληλυθὼς δὲ
either sailing-by or anchoring I-might-see having-gone-on and
συχνὸν ἀνθρώπων μὲν οὐδένα ἑώρων· ἐπιτυγχάνω δὲ
a-long-way of-men indeed no-one I-saw I-come-upon and
ἐλάφῳ νεωστὶ κατὰ τοῦ κρημνοῦ πεπτωκότι παρ᾽ αὐτὴν
deer lately down the cliff having-fallen by very
τὴν ῥαχίαν, ὑπὸ τῶν κυμάτων παιομένῳ, φυσῶντι ἔτι.
the surf by the waves being-struck breathing still
καὶ μετ᾽ ὀλίγον ἔδοξα ὑλακῆς ἀκοῦσαι κυνῶν ἄνωθεν
and after little I-seemed of-barking to-hear of-dogs from-above
μόλις πως διὰ τὸν ἦχον τὸν ἀπὸ τῆς θαλάττης.
with-difficulty somehow because-of the roar the from the sea
προελθὼν δὲ καὶ προβὰς πάνυ χαλεπῶς πρός τι 4
having-gone-forward and and having-advanced very with-difficulty to some
ὕψηλον τούς τε κύνας ὁρῶ ἠπορημένους καὶ διαθέοντας,
height the both dogs I-see baffled and running-about
ὑφ᾽ ὧν εἴκαζον ἀποβιασθὲν τὸ ζῷον ἁλέσθαι κατὰ τοῦ
by which I-guessed forced-off the animal to-have-leapt down the

κρημνοῦ, καὶ μετ᾽ ὀλίγον ἄνδρα, κυνηγέτην ἀπὸ τῆς ὄψεως
cliff and after little man hunter by the look
καὶ τῆς στολῆς, τὰ γένεια ὑγιῆ κομῶντα οὐ φαύλως οὐδὲ
and the dress the beard healthy wearing-long not poorly nor
ἀγεννῶς ἐξόπισθεν, οἵους ἐπὶ Ἴλιον Ὅμηρός φησιν ἐλθεῖν
ignobly behind such-as to Ilium Homer says to-have-gone
Εὐβοέας, σκώπτων, ἐμοὶ δοκεῖν, καὶ καταγελῶν, ὅτι τῶν
Euboeans mocking to-me to-seem and laughing because the
ἄλλων Ἀχαιῶν καλῶς ἐχόντων οἱ δὲ ἐξ ἡμίσους ἐκόμων.
other Achaeans well being-groomed they but by half wore-long-hair
5 καὶ ὃς ἀνηρώτα με, Ἀλλ᾽ ἦ, ὦ ξεῖνε, τῇδέ που
and he asked me but surely O stranger here somewhere
φεύγοντα ἔλαφον κατενόησας; κἀγὼ πρὸς αὐτόν, Ἐκεῖνος,
fleeing deer did-you-notice and-I to him that-one
ἔφην, ἐν τῷ κλύδωνι ἤδη· καὶ ἀγαγὼν ἔδειξα. ἑλκύσας
I-said in the surf already and having-led showed having-dragged
οὖν αὐτὸν ἐκ τῆς θαλάττης τό τε δέρμα ἐξέδειρε
then it from the sea the both hide he-flayed
μαχαίρᾳ, κἀμοῦ ξυλλαμβάνοντος ὅσον οἷός τε ἦν,
with-knife and-I helping as-much-as able — I-was
καὶ τῶν σκελῶν ἀποτεμὼν τὰ ὀπίσθια ἐκόμιζεν ἅμα
and of-the legs having-cut-off the hind he-carried together-with
τῷ δέρματι. παρεκάλει δὲ κἀμὲ συνακολουθεῖν καὶ
the hide he-invited and me-too to-follow-along and
συνεστιᾶσθαι τῶν κρεῶν· εἶναι δὲ οὐ μακρὰν τὴν οἴκησιν.
to-feast-with-them of-the meat to-be and not far the dwelling
6 ἔπειτα ἕωθεν παρ᾽ ἡμῖν, ἔφη, κοιμηθεὶς ἥξεις ἐπὶ
then at-dawn with us he-said having-slept you-will-come to
τὴν θάλατταν, ὡς τά γε νῦν οὐκ ἔστι πλόϊμα. καὶ
the sea as the-things at-least now not are sailable and
μὴ τοῦτο, εἶπε, φοβηθῇς. βουλοίμην δ᾽ ἂν ἔγωγε καὶ
not this he-said fear I-would-wish and — I even

μετὰ πέντε ἡμέρας λῆξαι τὸν ἄνεμον· ἀλλ᾽ οὐ ῥᾴδιον,
after five days to-cease the wind but not easy
εἶπεν, ὅταν οὕτως πιεσθῇ τὰ ἄκρα τῆς Εὐβοίας ὑπὸ τῶν
he-said when so are-pressed the heights — of-Euboea by the
νεφῶν ὥς γε νῦν κατειλημμένα ὁρᾷς. καὶ ἅμα ἠρώτα
clouds as at-least now covered you-see and at-once he-asked
με ὁπόθεν δὴ καὶ ὅπως ἐκεῖ κατηνέχθην, καὶ εἰ μὴ
me whence indeed and how there I-was-carried-down and if not
διεφθάρη τὸ πλοῖον. μικρὸν ἦν παντελῶς, ἔφην, ἁλιέων
was-wrecked the vessel small was altogether I-said of-fishermen
τινῶν περαιουμένων, κἀγὼ μόνος ξυνέπλεον ὑπὸ σπουδῆς
some crossing and-I alone sailed-with-them through haste
τινος. διεφθάρη δ᾽ ὅμως ἐπὶ τὴν γῆν ἐκπεσόν.
some it-was-wrecked but nevertheless onto the land having-been-cast
οὔκουν ῥᾴδιον, ἔφη, ἄλλως· ὅρα γὰρ ὡς ἄγρια καὶ σκληρὰ 7
not-then easy he-said otherwise see for how wild and harsh
τῆς νήσου τὰ πρὸς τὸ πέλαγος. ταῦτ᾽, εἶπεν, ἐστὶ τὰ
of-the island the-parts toward the open-sea these he-said are the
κοῖλα τῆς Εὐβοίας λεγόμενα, ὅπου κατενεχθεῖσα ναῦς οὐκ
hollows — of-Euboea called where having-been-carried-down ship not
ἂν ἔτι σωθείη· σπανίως δὲ σῴζονται καὶ τῶν ἀνθρώπων
— further could-be-saved rarely and are-saved even of-the men
τινές, εἰ μὴ ἄρα, ὥσπερ ὑμεῖς, ἐλαφροὶ παντελῶς πλέοντες.
some if not then like you light altogether sailing
ἀλλ᾽ ἴθι καὶ μηδὲν δείσῃς. νῦν μὲν ἐκ τῆς κακοπαθείας
but come and nothing fear now indeed from the hardship
ἀνακτήσῃ σαυτόν· εἰς αὔριον δέ, ὅ τι ἂν ᾖ δυνατόν,
you-will-recover yourself for tomorrow but what ever — may-be possible
ἐπιμελησόμεθα ὅπως σωθῇς, ἐπειδή σε ἔγνωμεν ἅπαξ.
we-will-take-care how you-may-be-saved since you we-have-known once

κἀγώ, τί οὖν οὐκ ἤδη δίδοτε; ἢ δεῖ ποθεν αὐτὸν ἐκ
and-I why then not already do-you-give or must from-somewhere he from
κώμης ἀφικέσθαι; δοκῶ μέν, εἶπεν, οὐ μακράν ἐστίν· ἀλλ᾽
village come I-think indeed he-said not far he-is but
ἔνδον ἐνθάδε. καὶ ποιήσομέν γε τοὺς γάμους ἡμέραν
inside here and we-will-make at-least the wedding day
ἀγαθὴν ἐπιλεξάμενοι. κἀγώ, Πῶς, ἔφην, κρίνετε τὴν
good having-chosen and-I how I-said do-you-judge the
ἀγαθὴν ἡμέραν; καὶ ὅς, Ὅταν μὴ μικρὸν ᾖ τὸ σελήνιον·
good day and he when not small is the moon
71 δεῖ δὲ καὶ τὸν ἀέρα εἶναι καθαρόν, αἰθρίαν λαμπράν.
must and also the air to-be pure clear-sky bright
κἀγώ, Τί δέ; τῷ ὄντι κυνηγέτης ἀγαθός ἐστιν; ἔφην.
and-I what and in-the being hunter good is-he I-said
ἔγωγε, εἶπεν ὁ νεανίσκος, καὶ ἔλαφον καταπονῶ καὶ σῦν
I said the young-man both deer I-wear-down and boar
ὑφίσταμαι. ὄψει δὲ αὔριον, ἂν θέλῃς, ὦ ξένε. καὶ τὸν
I-face you-will-see and tomorrow if you-wish O stranger and the
λαγὼν τοῦτον σύ, ἔφην, ἔλαβες; ἐγώ, ἔφη γελάσας, τῷ
hare this you I-said did-catch I he-said having-laughed with-the
λιναρίῳ τῆς νυκτός· ἦν γὰρ αἰθρία πάνυ καλὴ καὶ ἡ
net by-the night it-was for clear-sky very fine and the
σελήνη τηλικαύτη τὸ μέγεθος ἡλίκη οὐδεπώποτε ἐγένετο.
moon so-great in-the size as never was

ἐνταῦθα μέντοι ἐγέλασαν ἀμφότεροι, οὐ μόνον ὁ τῆς 72
then however laughed both not only the of-the
κόρης πατήρ, ἀλλὰ καὶ ὁ ἐκείνου. ὁ δὲ ᾐσχύνθη καὶ
girl father but also the his he and was-ashamed and
ἐσιώπησε. λέγει οὖν ὁ τῆς κόρης πατήρ, Ἐγὼ μέν, ἔφη,
fell-silent says then the of-the girl father I indeed he-said
ὦ παῖ, οὐδὲν ὑπερβάλλομαι. ὁ δὲ πατήρ σου περιμένει,
O boy nothing delay the but father your waits
ἔστ' ἂν ἱερεῖον πρίηται πορευθείς. δεῖ γὰρ θῦσαι
until — victim he-buys having-gone it-is-needful for to-sacrifice
τοῖς θεοῖς. εἶπεν οὖν ὁ νεώτερος ἀδελφὸς τῆς κόρης,
to-the gods said then the younger brother of-the girl
Ἀλλὰ ἱερεῖόν γε πάλαι οὗτος παρεσκεύακε, καὶ ἔστιν
but victim at-least long-ago this-one has-prepared and it-is
ἔνδον τρεφόμενον ὄπισθεν τῆς σκηνῆς γενναῖον.
inside being-fed behind the hut noble
ἠρώτων οὖν αὐτόν, Ἀληθῶς; ὁ δὲ ἔφη. καὶ πόθεν σοι; 73
they-asked then him truly he and said and whence for-you
ἔφασαν. ὅτε τὴν ὗν ἐλάβομεν τὴν τὰ τέκνα ἔχουσαν,
they-said when the sow we-took the the young having
τὰ μὲν ἄλλα διέδρα· καὶ ἦν, ἔφη, ταχύτερα τοῦ
the indeed others ran-off and were he-said swifter than-the
λαγώ· ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον καὶ ἁλόντι τὸ δέρμα
hare one but I with-stone hit and on-it-caught the hide
ἐπέβαλον· τοῦτο ἠλλαξάμην ἐν τῇ κώμῃ, καὶ ἔλαβον ἀντ'
I-threw-on this I-exchanged in the village and I-got for
αὐτοῦ χοῖρον, καὶ ἔθρεψα ποιήσας ὄπισθεν συφεόν.
it piglet and reared having-made behind sty
ταῦτα, εἶπεν, ἄρα ἡ μήτηρ σοῦ ἐγέλα, ὁπότε θαυμάζοιμι 74
these-things he-said then the mother your laughed when I-wondered
ἀκούων γρυλιζούσης τῆς συός, καὶ τὰς κριθὰς οὕτως
hearing grunting the sow and the barley so

ἀνήλισκες. αἱ γὰρ εὐβοΐδες, εἶπεν, οὐχ ἱκαναὶ ἦσαν πιᾶναι,
you-used-up the for Euboean-nuts he-said not sufficient were to-fatten
ἣ μηδὲ βαλάνους ἤθελεν ἐσθίειν. ἀλλὰ εἰ βούλεσθε
which not-even acorns wished to-eat but if you-wish
ἰδεῖν αὐτήν, ἄξω πορευθείς. οἱ δὲ ἐκέλευον. ἀπῄεσαν
to-see it I-will-bring having-gone they and bade went-off
οὖν ἐκεῖνός τε καὶ οἱ παῖδες αὐτόθεν δρόμῳ χαίροντες.
then he both and the boys from-there at-a-run rejoicing
75 ἐν δὲ τούτῳ ἡ παρθένος ἀναστᾶσα ἐξ ἑτέρας σκηνῆς
in and this the maiden having-risen from another hut
ἐκόμισεν οὖα τετμημένα καὶ μέσπιλα καὶ μῆλα
brought sorb-apples cut and medlars and apples
χειμερινὰ καὶ τῆς γενναίας σταφυλῆς βότρυς σφριγῶντας,
winter and of-the noble grape clusters plump
καὶ ἔθηκεν ἐπὶ τὴν τράπεζαν, καταψήσασα φύλλοις ἀπὸ
and placed on the table having-wiped with-leaves from
τῶν κρεῶν, ὑποβαλοῦσα καθαρὰν πτερίδα. ἦκον δὲ καὶ
the meat having-put-under clean fern came and also
οἱ παῖδες τὴν ὗν ἄγοντες μετὰ γέλωτος καὶ παιδιᾶς.
the boys the sow leading with laughter and play
76 συνηκολούθει δὲ ἡ μήτηρ τοῦ νεανίσκου καὶ ἀδελφοὶ δύο
followed and the mother of-the young-man and brothers two
παιδάρια· ἔφερον δὲ ἄρτους τε καθαροὺς καὶ ᾠὰ ἑφθὰ ἐν
little-boys they-carried and loaves both clean and eggs boiled in
ξυλίνοις πίναξι καὶ ἐρεβίνθους φρυκτούς. ἀσπασαμένη δὲ
wooden platters and chickpeas roasted having-greeted and
τὸν ἀδελφὸν ἡ γυνὴ καὶ τὴν ἀδελφιδῆν ἐκαθέζετο παρὰ τὸν
the brother the woman and the niece she-sat beside the
αὑτῆς ἄνδρα, καὶ εἶπεν, ἰδοῦ τὸ ἱερεῖον, ὃ οὗτος πάλαι
her-own husband and said behold the victim which this-one long-ago
ἔτρεφεν εἰς τοὺς γάμους, καὶ τἄλλα τὰ παρ᾽ ἡμῶν ἕτοιμά
reared for the wedding and the-rest the from us ready

ἐστι, καὶ ἄλφιτα καὶ ἄλευρα πεποίηται· μόνον ἴσως οἰναρίου
are and barley-meal and flour has-been-made only perhaps of-a-little-wine
προσδεησόμεθα· καὶ τοῦτο οὐ χαλεπὸν ἐκ τῆς κώμης λαβεῖν.
we-shall-need-besides and this not hard from the village to-get
παρειστήκει δὲ αὐτῇ πλησίον ὁ υἱὸς πρὸς τὸν κηδεστὴν 77
stood-beside and her near the son to the father-in-law
ἀποβλέπων. καὶ ὃς μειδιάσας εἶπεν, Οὗτος, ἔφη, ἐστὶν
looking and he having-smiled said this-one he-said is
ὁ ἐπέχων· ἴσως γὰρ ἔτι βούλεται πιᾶναι τὴν ὗν. καὶ τὸ
the(-one) delaying perhaps for still he-wishes to-fatten the sow and the
μειράκιον, Αὕτη μέν, εἶπεν, ὑπὸ τοῦ λίπους διαρραγήσεται.
youth she indeed said by the fat will-burst
κἀγὼ βουλόμενος αὐτῷ βοηθῆσαι, ὅρα, ἔφην, μὴ ἕως 78
and-I wishing him to-help see I-said lest while
πιαίνεται ἡ ὗς οὗτος ὑμῖν λεπτὸς γένηται. ἡ δὲ μήτηρ,
is-fattened the sow this-one to-you thin become the and mother
Ἀληθῶς, εἶπεν, ὁ ξένος λέγει, ἐπεὶ καὶ νῦν λεπτότερος
truly said the stranger speaks since even now thinner
αὐτοῦ γέγονε· καὶ πρῴην ᾐσθόμην τῆς νυκτὸς αὐτὸν
than-himself he-has-become and lately I-perceived in-the night him
ἐγρηγορότα καὶ προελθόντα ἔξω τῆς σκηνῆς.
awake and having-gone-forth outside the but
οἱ κύνες, ἔφη, ὑλάκτουν, καὶ ἐξῆλθον ὀψόμενος. οὐ σύ γε, 79
the dogs he-said were-barking and I-went-out going-to-see not you at-least
εἶπεν, ἀλλὰ περιεπάτεις ἀλύων. μὴ οὖν πλείω χρόνον ἐῶμεν
she-said but walked-about distraught not then longer time let-us-allow
ἀνιᾶσθαι αὐτόν. καὶ περιβαλοῦσα ἐφίλησε τὴν μητέρα τῆς
to-be-distressed him and having-embraced kissed the mother of-the
κόρης. ἡ δὲ πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς, Ποιῶμεν, εἶπεν, ὡς
girl she and to the husband the her-own let-us-do said as

θέλουσι. καὶ ἔδοξε ταῦτα, καὶ εἶπον, Εἰς τρίτην ποιῶμεν
they-wish and seemed-good these-things and they-said for third-day let-us-make
τοὺς γάμους. παρεκάλουν δὲ κἀμὲ προσμεῖναι τὴν ἡμέραν.
the wedding they-invited and me-too to-stay-for the day
80 κἀγὼ προσέμεινα οὐκ ἀηδῶς, ἐνθυμούμενος ἅμα τῶν
and-I stayed not unpleasantly reflecting at-once of-the
πλουσίων ὁποῖά ἐστι τά τε ἄλλα καὶ τὰ περὶ τοὺς
rich of-what-sort are the both other-things and the-things about the
γάμους, προμνηστριῶν τε πέρι καὶ ἐξετάσεων οὐσιῶν τε
weddings matchmakers both about and examinations of-properties both
καὶ γένους, προικῶν τε καὶ ἕδνων καὶ ὑποσχέσεων καὶ
and family of-dowries both and bride-gifts and promises and
ἀπατῶν, ὁμολογιῶν τε καὶ συγγραφῶν, καὶ τελευταῖον
deceptions of-agreements both and contracts and finally
πολλάκις ἐν αὐτοῖς τοῖς γάμοις λοιδοριῶν καὶ ἀπεχθειῶν.
often at very the weddings of-revilings and hatreds
81 ἅπαντα δὴ τοῦτον τὸν λόγον διῆλθον οὐκ ἄλλως οὐδ'
all indeed this the story I-went-through not idly nor
ὡς τάχ' ἂν δόξαιμί τισιν, ἀδολεσχεῖν βουλόμενος, ἀλλ'
as perhaps — I-might-seem to-some to-babble wishing but
οὗπερ ἐξ ἀρχῆς ὑπεθέμην βίου καὶ τῆς τῶν πενήτων
of-which from beginning I-proposed of-life and of-the of-the poor
διαγωγῆς παράδειγμα ἐκτιθείς, ὃ αὐτὸς ἠπιστάμην,
way-of-living example setting-forth which I-myself knew
τῷ βουλομένῳ θεάσασθαι λόγων τε καὶ ἔργων καὶ
to-the one-wishing to-observe of-words both and deeds and
κοινωνιῶν τῶν πρὸς ἀλλήλους, εἴ τι τῶν πλουσίων
associations the with one-another whether at-all than-the rich
ἐλαττοῦνται διὰ τὴν πενίαν πρὸς τὸ ζῆν εὐσχημόνως
they-fall-short because-of the poverty for the to-live decently
καὶ κατὰ φύσιν ἢ τῷ παντὶ πλέον ἔχουσιν.
and according-to nature or in-the all more have

καὶ δῆτα καὶ τὸ τοῦ Εὐριπίδου σκοπῶν, εἰ κατ' 82
and indeed also the — of-Euripides considering whether in
ἀλήθειαν ἀπόρως αὐτοῖς ἔχει τὰ πρὸς τοὺς ξένους, ὡς
truth helplessly for-them is the toward the strangers so-that
μήτε ὑποδέξασθαί ποτε δύνασθαι μήτε ἐπαρκέσαι δεομένῳ
neither to-receive ever to-be-able nor to-help needing
τινί, οὐδαμῇ πω τοιοῦτον εὑρίσκω τὸ τῆς ξενίας, ἀλλὰ
anyone nowhere yet such I-find the of-the hospitality but
καὶ πῦρ ἐναύοντας προθυμότερον τῶν πλουσίων καὶ
even fire kindling more-readily than-the rich and
ὁδῶν ἀπροφασίστους ἡγεμόνας· ἐπεί τοι τὰ τοιαῦτα
of-roads unhesitating guides since indeed the such-things
καὶ αἰσχύνοιντο ἄν· πολλάκις δὲ καὶ μεταδιδόντας
even they-would-be-ashamed — often and also sharing
ὧν ἔχουσιν ἑτοιμότερον· οὐ γὰρ δὴ ναυαγῷ τις
of-what they-have more-readily not for indeed to-shipwrecked-man anyone
δώσει ἐκείνων οὔτε τὸ τῆς γυναικὸς ἁλουργὲς ἢ τὸ τῆς
will-give of-those either the of-the wife purple or the of-the
θυγατρὸς οὔτε πολὺ ἧττον τούτου φόρημα, τῶν χλαινῶν
daughter or much less than-this garment of-the cloaks
τινα ἢ χιτώνων, μυρία ἔχοντες, ἀλλ' οὐδὲ τῶν οἰκετῶν
any or tunics countless having but not-even of-the servants
οὐδενὸς ἱμάτιον.
of-any cloak
δηλοῖ δὲ καὶ τοῦτο Ὅμηρος· τὸν μὲν γὰρ Εὔμαιον 83
shows and also this Homer — indeed for Eumaeus
πεποίηκε δοῦλον καὶ πένητα ὅμως τὸν Ὀδυσσέα καλῶς
he-has-made slave and poor nevertheless — Odysseus well
ὑποδεχόμενον καὶ τροφῇ καὶ κοίτῃ· τοὺς δὲ μνηστῆρας ὑπὸ
receiving both with-food and bed the but suitors through
πλούτου καὶ ὕβρεως οὐ πάνυ ῥᾳδίως αὐτῷ μεταδιδόντας
wealth and insolence not very easily to-him sharing

οὐδὲ τῶν ἀλλοτρίων, ὥς που καὶ αὐτὸς πεποίηται
even of-the others'-things as somewhere also himself has-been-made
λέγων πρὸς τὸν Ἀντίνουν, ὀνειδίζων τὴν ἀνελευθερίαν,
saying to — Antinous reproaching the illiberality

οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,
not you — from house to-your suppliant even salt would-give
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης
who now at-others' sitting not-at-all to-me dared
σίτου ἀπάρξασθαι, πολλῶν κατὰ οἶκον ἐόντων.
of-bread to-give-a-portion many in house being

V · POVERTY AND HOSPITALITY

Dio goes on with the Odyssey: Penelope promises the disguised Odysseus a tunic, cloak, and sandals only if he strings the bow, and Telemachus bids the swineherd send him to the city to beg, as if it were the custom to receive only the rich kindly. Wealth makes men stingy, not generous; a poor man of good nature has enough to recover from illness and to give his guests friendly gifts, while Menelaus' wealth only brought Priam's son to his house, the loss of his wife, ten years of war, and long wandering. Dio cites the poets because they hold the opinions of the many. He then turns to the poor in the cities, where everything must be bought, and asks whether the free workers must be settled on the land, as the Athenians once lived, a life that made them better than the idle townsmen who came later.

84 καὶ τούτους μὲν ἔστω διὰ τὴν ἄλλην πονηρίαν εἶναι
and these indeed let-it-be because-of the other wickedness to-be
τοιούτους· ἀλλ' οὐδὲ τὴν Πηνελόπην, καίτοι χρηστὴν
such but not-even — Penelope and-yet good
οὖσαν καὶ σφόδρα ἡδέως διαλεγομένην πρὸς αὐτὸν καὶ περὶ
being and very gladly conversing with him and about

τοῦ ἀνδρὸς πεπυσμένην, οὐδὲ ταύτην φησὶν ἱμάτιον αὐτῷ
the husband having-inquired not-even her he-says cloak to-him
δοῦναι γυμνῷ παρακαθημένῳ, ἀλλ᾽ ἢ μόνον ἐπαγγέλλεσθαι,
to-give naked sitting-beside but than only to-promise
ἂν ἄρα φανῇ ἀληθεύων περὶ τοῦ Ὀδυσσέως,
if then he-appears telling-truth about — Odysseus
ὅτι ἐκείνου τοῦ μηνὸς ἥξοι, καὶ ὕστερον, ἐπειδὴ τὸ 85
that in-that the month he-would-come and later when the
τόξον ᾔτει, τῶν μνηστήρων, οὐ δυναμένων ἐντεῖναι,
bow he-asked-for the suitors not being-able to-string
χαλεπαινόντων ἐκείνῳ, ὅτι ἠξίου πρὸς αὐτοὺς ἁμιλλᾶσθαι
being-angry at-him that he-thought-fit with them to-compete
περὶ ἀρετῆς, ἀξιοῖ δοθῆναι αὐτῷ· οὐ γὰρ δὴ περὶ τοῦ
about virtue she-thinks-fit to-be-given to-him not for indeed about the
γάμου γε εἶναι κἀκείνῳ τὸν λόγον, ἀλλ᾽ ἐὰν τύχῃ
marriage at-least to-be even-for-that-one the question but if he-happens
ἐπιτείνας καὶ διαβαλὼν διὰ τῶν πελέκεων, ἐπαγγέλλεται
having-strung and having-shot through the axes she-promises
αὐτῷ δώσειν χιτῶνα καὶ ἱμάτιον καὶ ὑποδήματα·
to-him to-be-going-to-give tunic and cloak and sandals
ὡς δέον αὐτὸν τὸ Εὐρύτου τόξον ἐντεῖναι καὶ τοσούτοις 86
as it-being-needful him the of-Eurytus bow to-string and to-so-many
νεανίσκοις ἐχθρὸν γενέσθαι, τυχὸν δὲ καὶ ἀπολέσθαι
young-men enemy to-become perhaps and also to-perish
παραχρῆμα ὑπ᾽ αὐτῶν, εἰ μέλλει τυγχάνειν ἐξωμίδος
immediately by them if he-is-to obtain slave-tunic
καὶ ὑποδημάτων, ἢ τὸν Ὀδυσσέα, εἴκοσιν ἐτῶν οὐδαμοῦ
and sandals or — Odysseus for-twenty years nowhere
πεφηνότα, ἥκοντα ἀποδεῖξαι, καὶ ταῦτα ἐν ἡμέραις
having-appeared coming to-show and this within days

ῥηταῖς· εἰ δὲ μή, ἐν τοῖς αὐτοῖς ἀπιέναι ῥάκεσι παρὰ
stated if but not in the same to-go-away rags from
τῆς σώφρονος καὶ ἀγαθῆς Ἰκαρίου θυγατρὸς βασιλίδος.
the temperate and good of-Icarius daughter queen
87 σχεδὸν δὲ καὶ ὁ Τηλέμαχος τοιαῦτα ἕτερα πρὸς τὸν
nearly and also — Telemachus such other-things to the
συβώτην λέγει περὶ αὐτοῦ, κελεύων αὐτὸν εἰς τὴν πόλιν
swineherd says about him bidding him into the city
πέμπειν τὴν ταχίστην πτωχεύσοντα ἐκεῖ, καὶ μὴ πλείους
to-send the quickest going-to-beg there and not more
ἡμέρας τρέφειν ἐν τῷ σταθμῷ· καὶ γὰρ εἰ ξυνέκειτο
days to-feed in the farmstead even for if was-agreed
αὐτοῖς ταῦτα, ἀλλ' ὅ γε συβώτης οὐ θαυμάζει τὸ
between-them these-things but the at-least swineherd not wonders-at the
πρᾶγμα καὶ τὴν ἀπανθρωπίαν,
thing and the inhumanity
88 ὡς ἔθους δὴ ὄντος οὕτως ἀκριβῶς καὶ ἀνελευθέρως
as custom indeed being so strictly and illiberally
πράττειν τὰ περὶ τοὺς ξένους τοὺς πένητας, μόνους
to-do the-things toward the strangers the poor alone
δὲ τοὺς πλουσίους ὑποδέχεσθαι φιλοφρόνως ξενίοις
and the rich to-receive kindly with-gifts-of-hospitality
καὶ δώροις, παρ' ὧν δῆλον ὅτι καὶ αὐτοὶ προσεδόκων
and presents from whom clearly that also themselves expected
τῶν ἴσων ἂν τυχεῖν, ὁποῖα σχεδὸν καὶ τὰ τῶν νῦν
of-the equal — to-obtain such-as nearly also the-things of-the present-men
ἐστι φιλανθρωπίας τε πέρι καὶ προαιρέσεως.
are of-humanity both about and of-choice
89 αἱ γὰρ δὴ δοκοῦσαι φιλοφρονήσεις καὶ χάριτες, ἐὰν
the for indeed seeming kindnesses and favors if
σκοπῇ τις ὀρθῶς, οὐδὲν διαφέρουσιν ἐράνων καὶ
considers anyone rightly nothing differ from-contributions and

δανείων, ἐπὶ τόκῳ συχνῷ καὶ ταῦτα ὡς τὸ πολὺ
loans at interest steep and these as the most
γιγνόμενα, εἰ μὴ νὴ Δί᾽ ὑπερβάλλει τὰ νῦν τὰ πρότερον,
happening if not by Zeus surpass the present the earlier
ὥσπερ ἐν τῇ ἄλλῃ ξυμπάσῃ κακίᾳ.
as in the other all vice
ἔχω γε μὴν εἰπεῖν καὶ περὶ τῶν Φαιάκων καὶ τῆς ἐκείνων 90
I-can at-least indeed to-speak also about the Phaeacians and the their
φιλανθρωπίας, εἴ τῳ δοκοῦσιν οὗτοι οὐκ ἀγεννῶς οὐδ᾽
humanity if to-anyone seem these not ignobly nor
ἀναξίως τοῦ πλούτου προσενεχθῆναι τῷ Ὀδυσσεῖ, μεθ᾽
unworthily of-the wealth to-have-behaved — to-Odysseus with
οἵας μάλιστα διανοίας καὶ δι᾽ ἃς αἰτίας προυτράπησαν
what-sort most mind and for what reasons they-were-prompted
ἀφθόνως καὶ μεγαλοπρεπῶς χαρίζεσθαι. ἀλλὰ γὰρ πολὺ
unstintingly and magnificently to-give but for much
πλείω τῶν ἱκανῶν καὶ τὰ νῦν ὑπὲρ τούτων εἰρημένα.
more than-the sufficient also the-things now about these said
δῆλόν γε μὴν ὡς ὁ πλοῦτος οὔτε πρὸς ξένους οὔτε ἄλλως 91
clear at-least indeed that the wealth neither toward strangers nor otherwise
μέγα τι συμβάλλεται τοῖς κεκτημένοις, ἀλλὰ τοὐναντίον
great anything contributes to-those possessing-it but on-the-contrary
γλίσχρους καὶ φειδωλοὺς ὡς τὸ πολὺ μᾶλλον τῆς πενίας
stingy and sparing as the most rather than-the poverty
ἀποτελεῖν πέφυκεν. οὐδὲ γάρ, εἴ τις αὖ τῶν πλουσίων,
to-render is-wont nor for if anyone in-turn of-the rich
εἷς που τάχα ἐν μυρίοις, δαψιλὴς καὶ μεγαλόφρων τὸν
one somewhere perhaps in ten-thousand lavish and great-minded in-the
τρόπον εὑρεθείη, τοῦτο ἱκανῶς δείκνυσι τὸ μὴ οὐχὶ τοὺς
character should-be-found this sufficiently shows the not not the
πολλοὺς χείρους περὶ ταῦτα γίγνεσθαι τῶν ἀπορωτέρων.
many worse about these-things to-become than-the needier

92 ἀνδρὶ δὲ πένητι μὴ φαύλῳ τὴν φύσιν ἀρκεῖ τὰ παρόντα
to-man but poor not base in-the nature suffice the present-things
καὶ τὸ σῶμα μετρίως ἀσθενήσαντι, τοιούτου ποτὲ
and the body moderately having-been-ill such sometime
νοσήματος ξυμβάντος οἷάπερ εἴωθε γίγνεσθαι τοῖς οὐκ
disease having-befallen such-as is-wont to-befall those not
ἀργοῖς ἑκάστοτε ἐμπιμπλαμένοις, ἀνακτήσασθαι, καὶ
idle each-time filling-themselves to-restore and
ξένοις ἐλθοῦσι δοῦναι προσφιλῆ ξένια, χωρὶς ὑποψίας
to-strangers having-come to-give friendly gifts without suspicion
παρ᾽ ἑκόντων διδόμενα ἀλύπως, οὐκ ἴσως ἀργυροῦς
from willing given painlessly not perhaps silver
κρατῆρας ἢ ποικίλους πέπλους ἢ τέθριππον,
mixing-bowls or embroidered robes or four-horse-chariot
93 τὰ Ἑλένης καὶ Μενέλεω Τηλεμάχῳ δῶρα. οὐδὲ γὰρ
the of-Helen and of-Menelaus to-Telemachus gifts nor for
τοιούτους ὑποδέχοιντ᾽ ἄν, ὡς εἰκός, ξένους, σατράπας ἢ
such would-they-receive — as likely strangers satraps or
βασιλέας, εἰ μή γε πάνυ σώφρονας καὶ ἀγαθούς, οἷς
kings if not at-least very temperate and good to-whom
οὐδὲν ἐνδεὲς μετὰ φιλίας γιγνόμενον. ἀκολάστους δὲ καὶ
nothing lacking with friendship happening licentious but and
τυραννικοὺς οὔτ᾽ ἂν οἶμαι δύναιντο θεραπεύειν ἱκανῶς
tyrannical neither — I-think could-they to-serve sufficiently
ξένους οὔτ᾽ ἂν ἴσως προσδέοιντο τοιαύτης ξενίας.
strangers nor — perhaps would-they-need such hospitality
94 οὐδὲ γὰρ τῷ Μενέλεῳ δήπουθεν ἀπέβη πρὸς τὸ λῷον,
nor for — to-Menelaus surely turned-out for the better
ὅτι ἠδύνατο δέξασθαι τὸν πλουσιώτατον ἐκ τῆς Ἀσίας
that he-could to-receive the richest from — Asia

ξένον, ἄλλος δὲ οὐδεὶς ἱκανὸς ἦν ἐν τῇ Σπάρτῃ τὸν
stranger other but no-one able was in — Sparta the
Πριάμου τοῦ βασιλέως υἱὸν ὑποδέξασθαι.
of-Priam the king son to-receive
τοιγάρ τοι ἐρημώσας αὐτοῦ τὴν οἰκίαν καὶ πρὸς τοῖς 95
therefore indeed having-emptied his the house and besides the
χρήμασι τὴν γυναῖκα προσλαβών, τὴν δὲ θυγατέρα
money the wife having-taken-in-addition the but daughter
ὀρφανὴν τῆς μητρὸς ἐάσας, ᾤχετο ἀποπλέων. καὶ
orphaned of-the mother having-left went-off sailing-away and
μετὰ ταῦτα ὁ Μενέλαος χρόνον μὲν πολὺν ἐφθείρετο
after these-things — Menelaus time indeed long wasted-away
πανταχόσε τῆς Ἑλλάδος, ὀδυρόμενος τὰς αὑτοῦ συμφοράς,
everywhere — of-Greece lamenting the his-own misfortunes
δεόμενος ἑκάστου τῶν βασιλέων ἐπαμῦναι. ἠναγκάσθη δὲ
begging each of-the kings to-help he-was-compelled and
ἱκετεῦσαι καὶ τὸν ἀδελφόν, ὅπως ἐπιδῷ τὴν θυγατέρα
to-supplicate also the brother so-that he-might-give the daughter
σφαγησομένην ἐν Αὐλίδι.
going-to-be-slaughtered at Aulis
δέκα δὲ ἔτη καθῆστο πολεμῶν ἐν Τροίᾳ, πάλιν ἐκεῖ 96
ten and years sat warring at Troy again there
κολακεύων τοὺς ἡγεμόνας τοῦ στρατοῦ καὶ αὐτὸς καὶ
flattering the leaders of-the army both himself and
ὁ ἀδελφός· εἰ δὲ μή, ὠργίζοντο καὶ ἠπείλουν ἑκάστοτε
the brother if but not they-were-angry and threatened each-time
ἀποπλεύσεσθαι· καὶ πολλοὺς πόνους καὶ κινδύνους
to-be-going-to-sail-away and many toils and dangers
ἀμηχάνους ὑπομένων, ὕστερον δὲ ἠλᾶτο καὶ οὐχ οἷός τ᾽
impossible enduring later and wandered and not able —
ἦν δίχα μυρίων κακῶν οἴκαδ᾽ ἀφικέσθαι.
was without countless evils home to-arrive

97 ἆρ᾽ οὖν οὐ σφόδρα ἄξιον ἄγασθαι τοῦ πλούτου κατὰ
then then not very worth to-admire the wealth according-to
τὸν ποιητὴν καὶ τῷ ὄντι ζηλωτὸν ὑπολαβεῖν, ὅ φησιν
the poet and in-the being enviable to-consider what he-says
αὐτοῦ μέγιστον εἶναι ἀγαθόν, τὸ δοῦναι ξένοις, καὶ ἐάν
of-it greatest to-be good the to-give to-strangers and if
ποτέ τινες ἔλθωσι τρυφῶντες ἐπὶ τὴν οἰκίαν, μὴ ἀδύνατον
ever some come living-luxuriously to the house not impossible
γενέσθαι παρασχεῖν κατάλυσιν καὶ προθεῖναι ξένια, οἷς
to-be to-provide lodging and to-set-before gifts in-which
ἂν ἐκεῖνοι μάλιστα ἥδοιντο;
— they most would-delight

98 λέγομεν δὲ ταῦτα μεμνημένοι τῶν ποιητῶν, οὐκ ἄλλως
we-say and these-things remembering the poets not idly
ἀντιπαρεξάγοντες ἐκείνοις οὐδὲ τῆς δόξης ζηλοτυποῦντες, ἣν
drawing-up-against them nor of-the glory jealous which
ἀπὸ τῶν ποιημάτων ἐκτήσαντο ἐπὶ σοφίᾳ· οὐ τούτων ἕνεκα,
from the poems they-acquired for wisdom not of-these for-the-sake
φιλοτιμούμενοι ἐξελέγχειν αὐτούς, ἀλλὰ παρ᾽ ἐκείνοις μάλιστα
ambitious to-refute them but among them most
εὑρήσειν ἡγούμενοι τὴν τῶν πολλῶν διάνοιαν, περί τε
to-be-going-to-find thinking the of-the many mind about both
πλούτου καὶ τῶν ἄλλων, ἃ θαυμάζουσι, καὶ τί μέγιστον
wealth and the other-things which they-admire and what greatest
οἴονταί σφισι γενέσθαι ἂν ἀφ᾽ ἑκάστου τῶν τοιούτων.
they-think for-them to-come — from each of-the such-things

99 δῆλον γὰρ ὅτι μὴ συμφωνοῦντος αὐτοῖς τοῦ ποιήματος
clear for that not agreeing with-them the poem
μηδὲ τὴν αὐτὴν γνώμην ἔχοντος οὐκ ἂν οὕτω σφόδρα
nor the same judgment having not — so greatly

ἐφίλουν οὐδὲ ἐπῄνουν ὡς σοφούς τε καὶ ἀγαθοὺς καὶ
they-would-love nor would-praise as wise both and good and
τἀληθῆ λέγοντας.
the-truth saying
ἐπεὶ οὖν οὐκ ἔστιν ἕκαστον ἀπολαμβάνοντα ἐλέγχειν 100
since then not it-is-possible each taking-aside to-examine
τοῦ πλήθους, οὐδ' ἀνερωτᾶν ἅπαντας ἐν μέρει, τί γὰρ
of-the multitude nor to-question all in turn why for
σύ, ὦ ἄνθρωπε, δέδοικας τὴν πενίαν οὕτως πάνυ, τὸν
you O man do-you-fear the poverty so very the
δὲ πλοῦτον ὑπερτιμᾷς, τί δ' αὖ σὺ ἐλπίζεις κερδανεῖν
and wealth over-value what and in-turn you hope to-gain
μέγιστον, ἂν τύχῃς πλουτήσας ἢ νὴ Δία ἔμπορος
greatest if you-happen having-become-rich or by Zeus merchant
γενόμενος ἢ καὶ βασιλεύσας; (ἀμήχανον γὰρ δὴ τὸ
having-become or even having-become-king impossible for indeed the
τοιοῦτον καὶ οὐδαμῶς ἀνυστόν)
such and in-no-way achievable
οὕτως οὖν ἐπὶ τοὺς προφήτας αὐτῶν καὶ συνηγόρους, 101
so then to the prophets their and advocates
τοὺς ποιητάς, ἐξ ἀνάγκης ἴμεν, ὡς ἐκεῖ φανερὰς καὶ
the poets of necessity we-will-go as there visible and
μέτροις κατακεκλειμένας εὑρήσοντες τὰς τῶν πολλῶν
in-meters shut-up going-to-find the of-the many
δόξας· καὶ δῆτα οὐ πάνυ μοι δοκοῦμεν ἀποτυγχάνειν.
opinions and indeed not very to-me we-seem to-miss
τοῦτο δὲ σύνηθες δήπου καὶ τοῖς σοφωτέροις, ὃ νῦν ἡμεῖς 102
this and customary surely also to-the wiser which now we
ποιοῦμεν· ἐπεὶ καὶ αὐτοῖς τούτοις τοῖς ἔπεσιν ἀντείρηκε
do since even very these the verses has-contradicted
τῶν πάνυ φιλοσόφων τις, ὃν οὐδείς, ἐμοὶ δοκεῖν, φαίη
of-the very philosophers one whom no-one to-me to-seem would-say

ἄν ποτε φιλονικοῦντα τούτοις τε ἀντειρηκέναι καὶ τοῖς
— ever contentiously these both to-have-contradicted and the-things
ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις, ἐκείνοις
by Sophocles against the wealth said those
μὲν ἐπ᾽ ὀλίγον, τοῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον, οὐ
indeed for little the-things but — of-Sophocles for longer not
μήν, ὥσπερ νῦν ἡμεῖς, διὰ μακρῶν, ἅτε οὐ παραχρῆμα
however as now we at length as not on-the-spot
κατὰ πολλὴν ἐξουσίαν διεξιών, ἀλλ᾽ ἐν βίβλοις γράφων.
with much license going-through but in books writing
103 γεωργικοῦ μὲν δὴ πέρι καὶ κυνηγετικοῦ τε καὶ ποιμενικοῦ
of-farming indeed then about and of-hunting both and herding
βίου τάδε πλείω διατριβὴν ἴσως παρασχόντα τοῦ
life these-things more pastime perhaps having-provided than-the
μετρίου λελέχθω, προθυμουμένων ἡμῶν ἁμῃγέπῃ δεῖξαι
moderate let-be-said being-eager we somehow to-show
πενίαν ὡς οὐκ ἄπορον χρῆμα βίου καὶ ζωῆς πρεπούσης
poverty as not helpless thing of-life and living befitting
ἀνδράσιν ἐλευθέροις αὐτουργεῖν ἐθέλουσιν, ἀλλ᾽ ἐπὶ
to-men free to-work-themselves willing but to
κρείττω πολὺ καὶ συμφορώτερα ἔργα καὶ πράξεις ἄγον
better much and more-advantageous works and deeds leading
καὶ μᾶλλον κατὰ φύσιν ἢ ἐφ᾽ οἷα ὁ πλοῦτος
and more according-to nature than to what-sort the wealth
εἴωθε τοὺς πολλοὺς προτρέπειν.
is-wont the many to-urge
104 εἶεν δή, περὶ τῶν ἐν ἄστει καὶ κατὰ πόλιν πενήτων
well indeed about the in town and in city poor
σκεπτέον ἂν εἴη τοῦ βίου καὶ τῶν ἐργασιῶν, πῶς
one-must-consider — it-would-be the life and the occupations how
ἂν μάλιστα διάγοντες καὶ ποῖ᾽ ἄττα μεταχειριζόμενοι
— most passing-life and what-sort some handling

δυνήσονται μὴ κακῶς ζῆν μηδὲ φαυλότερον τῶν
they-will-be-able not badly to-live nor more-meanly than-those
δανειζόντων ἐπὶ τόκοις συχνοῖς, εὖ μάλ' ἐπισταμένων τὸν
lending at interests steep well very knowing the
ἡμερῶν τε καὶ μηνῶν ἀριθμόν, καὶ τῶν συνοικίας τε
of-days both and months number and those tenements both
μεγάλας καὶ ναῦς κεκτημένων καὶ ἀνδράποδα πολλά·
great and ships having-acquired and slaves many
μήποτε σπάνια ᾖ τὰ ἐν ταῖς πόλεσιν ἔργα τοῖς τοιούτοις, 105
perhaps scarce be the in the cities works for-the such
ἀφορμῆς τε ἔξωθεν προσδεόμενα, ὅταν οἰκεῖν τε μισθοῦ
of-capital both from-outside needing when to-dwell both for-hire
δέῃ καὶ τἄλλ' ἔχειν ὠνουμένους, οὐ μόνον ἱμάτια καὶ
it-is-needful and the-rest to-have buying not only clothes and
σκεύη καὶ σῖτον, ἀλλὰ καὶ ξύλα, τῆς γε καθ' ἡμέραν
utensils and grain but also wood of-the at-least by day
χρείας ἕνεκα τοῦ πυρός, κἂν φρυγάνων δέῃ ποτὲ
need for-the-sake of-the fire and-if brushwood one-needs ever
ἢ φύλλων ἢ ἄλλου ὁτουοῦν τῶν πάνυ φαύλων,
or leaves or other anything of-the very worthless
δίχα δὲ ὕδατος τὰ ἄλλα σύμπαντα ἀναγκάζωνται 106
apart and from-water the other-things all they-are-compelled
λαμβάνειν, τιμὴν κατατιθέντες, ἅτε πάντων κατακλειομένων
to-get price paying as all-things locked-up
καὶ μηδενὸς ἐν μέσῳ φαινομένου πλήν γε οἶμαι τῶν ἐπὶ
and nothing in middle appearing except at-least I-think the for
πράσει πολλῶν καὶ τιμίων. τάχα γὰρ φανεῖται χαλεπὸν
sale many and costly perhaps for will-appear hard
τοιούτῳ βίῳ διαρκεῖν μηδὲν ἄλλο κτῆμα ἔξω τοῦ σώματος
on-such life to-last no other possession outside of-the body

κεκτημένους, ἄλλως τε ὅταν μὴ τὸ τυχὸν ἔργον μηδὲ πάνθ'
having-acquired especially both when not the chance work nor all
ὁμοίως συμβουλεύωμεν αὐτοῖς, ὅθεν ἔστι κερδᾶναι·
alike we-advise them from-which it-is-possible to-gain
107 ὥστε ἴσως ἀναγκασθησόμεθα ἐκβαλεῖν ἐκ τῶν πόλεων τῷ
so-that perhaps we-shall-be-compelled to-throw-out from the cities in-the
λόγῳ τοὺς κομψοὺς πένητας, ἵνα παρέχωμεν τῷ ὄντι
argument the refined poor so-that we-may-render in-the being
καθ' Ὅμηρον τὰς πόλεις εὖ ναιεταώσας, ὑπὸ μόνων
according-to Homer the cities well inhabited by only
τῶν μακαρίων οἰκουμένας, ἐντὸς δὲ τείχους οὐδένα ἐάσομεν,
the blessed inhabited within but wall no-one we-will-allow
ὡς ἔοικεν, ἐλεύθερον ἐργάτην. ἀλλὰ τοὺς τοιούτους ἅπαντας
as it-seems free worker but the such all
τί δράσομεν; ἢ διασπείραντες ἐν τῇ χώρᾳ κατοικιοῦμεν,
what shall-we-do or having-dispersed in the country shall-we-settle
καθάπερ Ἀθηναίους φασὶ νέμεσθαι καθ' ὅλην τὴν Ἀττικὴν
as Athenians they-say to-dwell throughout whole — Attica
τὸ παλαιόν, καὶ πάλιν ὕστερον τυραννήσαντος Πεισιστράτου;
the of-old and again later having-been-tyrant Pisistratus
108 οὔκουν οὐδὲ ἐκείνοις ἀξύμφορος ἡ τοιαύτη δίαιτα ἐγένετο,
not-then even for-those disadvantageous the such way-of-life became
οὐδὲ ἀγεννεῖς ἤνεγκε φύσεις πολιτῶν, ἀλλὰ τῷ παντὶ
nor ignoble bore natures of-citizens but in-the all
βελτίους καὶ σωφρονεστέρους τῶν ἐν ἄστει τρεφομένων
better and more-temperate than-those in town reared
ὕστερον ἐκκλησιαστῶν καὶ δικαστῶν καὶ γραμματέων, ἀργῶν
later assemblymen and jurors and clerks idle
ἅμα καὶ βαναύσων. οὔκουν ὁ κίνδυνος μέγας οὐδὲ χαλεπός,
at-once and vulgar not-then the danger great or hard

εἰ πάντες οὗτοι καὶ πάντα τρόπον ἄγροικοι ἔσονται· οἶμαι δ'
if all these and every way rustic will-be I-think but
ὅμως αὐτοὺς οὐκ ἀπορήσειν οὐδὲ ἐν ἄστει τροφῆς.
nevertheless them not to-be-going-to-be-at-a-loss even in town for-livelihood

VI · TRADES FIT FOR THE POOR

Dio distinguishes the trades. Those that harm the body or the soul, or serve only the luxury of cities, a decent man should not practice or teach. Those that are seemly and useful, he should take up eagerly, and he will never lack a living. He should scorn the taunts of those who mock a mother who nursed for hire or a father who taught letters. Dyers, perfumers, hairdressers, decorators, actors, dancers, and competing musicians are excluded, though Smyrna, Chios, Argos, Athens, and Thebes may protest; so are criers, pettifoggers, and hired advocates. Asking pardon for his long digressions, he compares himself to hunters who leave one track for a clearer one, and to the writer who set out to find justice and spent far longer on constitutions: length deserves blame only when it is irrelevant. He resolves to get through the cities' remaining occupations, leaving some unspoken.

ἀλλὰ ἴδωμεν πόσα καὶ ἅττα πράττοντες ἐπιεικῶς 109
but let-us-see how-many and what-sort doing decently
ἡμῖν διάξουσιν, ἵνα μὴ πολλάκις ἀναγκασθῶσιν ἀργοὶ
for-us they-will-live so-that not often they-may-be-compelled idle
καθήμενοι πρός τι τῶν φαύλων τραπῆναι. αἱ μὲν δὴ
sitting toward some of-the base-things to-turn the indeed then
σύμπασαι κατὰ πόλιν ἐργασίαι καὶ τέχναι πολλαὶ καὶ
all in city occupations and crafts many and
παντοδαπαί, σφόδρα τε λυσιτελεῖς ἔνιαι τοῖς χρωμένοις,
of-every-kind very both profitable some to-those using-them
ἐάν τις τὸ λυσιτελὲς σκοπῇ πρὸς ἀργύριον.
if one the profitable considers toward money

110 ὀνομάσαι δὲ αὐτὰς πάσας κατὰ μέρος οὐ ῥᾴδιον διὰ τὸ
to-name and them all by part not easy because-of the
πλῆθος καὶ τὴν ἀτοπίαν οὐχ ἧττον. οὐκοῦν ὅδε εἰρήσθω περὶ
number and the strangeness no less therefore this let-be-said about
αὐτῶν ἐν βραχεῖ ψόγος τε καὶ ἔπαινος. ὅσαι μὲν σώματι
them in short blame both and praise as-many-as indeed to-body
βλαβεραὶ πρὸς ὑγίειαν ἢ πρὸς ἰσχὺν τὴν ἱκανὴν δι᾽
harmful toward health or toward strength the sufficient because-of
ἀργίαν τε καὶ ἑδραιότητα ἢ ψυχῇ ἀσχημοσύνην τε καὶ
idleness both and sedentariness or in-soul unseemliness both and
ἀνελευθερίαν ἐντίκτουσαι ἢ ἄλλως ἀχρεῖοι καὶ πρὸς οὐδὲν
illiberality engendering or otherwise useless and for no
ὄφελός εἰσιν εὑρημέναι δι᾽ ἀβελτερίαν τε καὶ τρυφὴν τῶν
benefit are invented through stupidity both and luxury of-the
πόλεων, ἅς γε τὴν ἀρχὴν μήτε τέχνας μήτε ἐργασίας
cities which at-least the at-all neither crafts nor occupations
τό γε ὀρθὸν καλεῖν· οὐ γὰρ ἄν ποτε Ἡσίοδος σοφὸς
the at-least right to-call not for — ever Hesiod wise
ὢν ἐπῄνεσεν ὁμοίως πᾶν ἔργον, εἴ τι τῶν πονηρῶν
being would-have-praised alike every work if any of-the wicked
ἢ τῶν αἰσχρῶν ἠξίου ταύτης τῆς προσηγορίας·
or of-the shameful he-thought-worthy of-this the name
111 οἷς μὲν ἄν τις προσῇ τούτων τῶν βλαβῶν καὶ ἡτισοῦν,
in-which indeed — any be-present of-these the harms even whichever-one
μηδένα ἅπτεσθαι τῶν ἐλευθέρων τε καὶ ἐπιεικῶν μηδὲ
none to-touch of-the free both and decent nor
ἐπίστασθαι μήτε αὐτὸν μήτε παῖδας τοὺς αὑτοῦ διδάσκειν,
to-know nor himself nor children the his-own to-teach
ὡς οὔτε καθ᾽ Ἡσίοδον οὔτε καθ᾽ ἡμᾶς ἐργάτην
as neither according-to Hesiod nor according-to us worker
ἐσόμενον, ἄν τι μεταχειρίζηται τοιοῦτον, ἀλλὰ ἀργίας
going-to-be if anything he-handles such but of-idleness

τε ἅμα καὶ αἰσχροκερδείας ἀνελεύθερον ἔξοντα ὄνειδος,
both at-once and of-base-gain illiberal going-to-have reproach
βάναυσον καὶ ἀχρεῖον καὶ πονηρὸν ἁπλῶς ὀνομαζόμενον.
vulgar and useless and wicked simply being-called
ὅσα δὲ αὖ μήτε ἀπρεπῆ τοῖς μετιοῦσι μοχθηρίαν 112
as-many-as and in-turn neither unseemly to-those pursuing-them wickedness
τε μηδεμίαν ἐμποιοῦντα τῇ ψυχῇ μήτε νοσώδη τῶν τε
and none producing in-the soul nor productive of-the both
ἄλλων νοσημάτων καὶ δῆτα ἀσθενείας τε καὶ ὄκνου καὶ
other diseases and indeed of-weakness both and of-sloth and
μαλακίας διὰ πολλὴν ἡσυχίαν ἐγγιγνομένης ἐν τῷ σώματι,
of-softness through much rest arising in the body
καὶ μὴν χρείαν γε ἱκανὴν παρέχοντα πρὸς τὸν βίον,
and indeed use at-least sufficient providing for the life
πάντα τὰ τοιαῦτα πράττοντες προθύμως καὶ φιλοπόνως 113
all the such-things doing eagerly and industriously
οὔποτ' ἂν ἐνδεεῖς ἔργου καὶ βίου γίγνοιντο, οὐδ'
never — in-want of-work and of-livelihood would-they-become nor
ἂν ἀληθῆ τὴν ἐπίκλησιν παρέχοιεν τοῖς πλουσίοις καλεῖν
— true the name would-they-give to-the rich to-call
αὐτούς, ἥπερ εἰώθασιν, ἀπόρους ὀνομάζοντες, τοὐναντίον
them by-which they-are-wont needy naming-them on-the-contrary
μᾶλλον ἐκείνων ὄντες πορισταὶ καὶ μηδενὸς ἀπορούντες,
rather than-those being providers and in-nothing being-in-need
ὡς ἔπος εἰπεῖν, τῶν ἀναγκαίων καὶ χρησίμων.
as word to-say of-the necessary and useful-things
φέρε οὖν μνησθῶμεν ἀφ' ἑκατέρου τοῦ γένους, εἰ καὶ μὴ 114
come then let-us-mention from each the kind if even not
πάνυ ἀκριβῶς ἕκαστα φράζοντες, ἀλλ' ὡς τύπῳ γε
very precisely each-thing declaring but as in-outline at-least
κατιδεῖν, τὰ ποῖ' ἄττα καὶ ὧν ἕνεκα οὐ προσιέμεθα,
to-perceive the what-sort some and for-what for-the-sake not we-admit

καὶ ποῖα θαρροῦντας ἐπιχειρεῖν κελεύομεν, μηδὲν
and what-sort being-confident to-undertake we-bid in-nothing
φροντίζοντας τῶν ἄλλως τὰ τοιαῦτα προφερόντων, οἷον
caring for-those idly the such-things casting-up as
εἰώθασι λοιδορούμενοι προφέρειν πολλάκις οὐ μόνον τὰς
they-are-wont reviling to-cast-up often not only the
αὐτῶν ἐργασίας, αἷς οὐδὲν ἄτοπον πρόσεστιν, ἀλλὰ καὶ
their occupations in-which nothing strange attaches but also
τῶν γονέων, ἄν τινος ἔριθος ἡ μήτηρ ἢ τρυγήτρια
of-the parents if of-someone wool-worker the mother or grape-picker
ἐξελθοῦσά ποτε ἢ μισθοῦ τιτθεύσῃ παῖδα τῶν ὀρφανῶν ἢ
having-gone-out once or for-hire nursed child of-the orphans or
πλουσίων ἢ ὁ πατὴρ διδάξῃ γράμματα ἢ παιδαγωγήσῃ·
rich or the father taught letters or was-tutor
μηδὲν οὖν τοιοῦτον αἰσχυνομένους ὁμόσε ἰέναι.
in-nothing then such being-ashamed to-close-quarters to-go
115 οὐ γὰρ ἄλλως αὐτὰ ἐροῦσιν, ἂν λέγωσιν, ἢ ὡς σημεῖα
not for otherwise them they-will-speak if they-speak than as signs
πενίας, πενίαν αὐτὴν λοιδοροῦντες δῆλον ὅτι καὶ προφέροντες
of-poverty poverty itself reviling clear that also casting-up-it
ὡς κακὸν δή τι καὶ δυστυχές, οὐ τῶν ἔργων οὐδέν.
as evil indeed some and unfortunate not of-the works anything
ὥστε ἐπειδὴ οὔ φαμεν χεῖρον οὐδὲ δυστυχέστερον πλούτου
so-that since not we-say worse nor more-unfortunate than-wealth
πενίαν, τοῖς δὲ πολλοῖς ἴσως καὶ ξυμφορώτερον, οὐδὲ τὸ
poverty for-the but many perhaps even more-advantageous nor the
ὄνειδος τοῦ ὀνείδους μᾶλλόν τι βαρυντέον τοῦτ' ἐκείνου.
reproach than-the reproach more at-all one-must-weigh this than-that
116 εἰ γάρ τοι δέοι μὴ ὀνομάζοντας τὸ πρᾶγμα,
if for indeed one-should not naming the thing
ὃ ψέγουσι, τὰ καθ' ἡμέραν συμβαίνοντα δι' αὐτὸ
which they-blame the by day happening through it

βλασφημεῖν προφέροντας, πολὺ πλείω ἂν ἔχοιεν καὶ
to-slander casting-up much more — they-would-have and
τῷ ὄντι αἰσχρὰ διὰ πλοῦτον γιγνόμενα, οὐχ ἥκιστα δὲ
in-the being shameful through wealth happening not least and
τὸ παρὰ τῷ Ἡσιόδῳ κεκριμένον ἐπονείδιστον προφέρειν,
the with — Hesiod judged reproachful to-cast-up
τὸ τῆς ἀργίας, λέγοντες, ὅτι σε, ὦ ἄνθρωπε,
the of-the idleness saying that you O man

οὔτε σκαπτῆρα θεοὶ θέσαν οὔτ' ἀροτῆρα,
neither digger gods made nor plowman

καὶ ὅτι ἄλλως τὰς χεῖρας ἔχεις κατὰ τοὺς μνηστῆρας
and that idly the hands you-have like the suitors
ἀτρίπτους καὶ ἁπαλάς.
unrubbed and soft
οὐκοῦν τόδε μὲν οἶμαι παντί τῳ δῆλον καὶ πολλάκις 117
therefore this indeed I-think to-every one clear and often
λεγόμενον ἴσως ὅτι βαφεῖς μὲν καὶ μυρεψοὺς σὺν κουρικῇ
said perhaps that dyers indeed and perfumers with hairdressing
γυναικῶν τε καὶ ἀνδρῶν, οὐ πολύ τι διαφερούσαις τὰ
of-women both and of-men not much at-all differing the
νῦν, καὶ ποικιλτικῇ πάσῃ σχεδὸν οὐκ ἐσθῆτος μόνον, ἀλλὰ
now and embroidery all nearly not of-clothing only but
καὶ τριχῶν καὶ χρωτός, ἐγχούσῃ καὶ ψιμυθίῳ καὶ πᾶσι
also of-hair and of-skin with-paint and with-white-lead and all
φαρμάκοις μηχανωμένῃ ὥρας ψευδεῖς καὶ νόθα εἴδωλα,
drugs contriving beauties false and bastard images
ἔτι δὲ ἐν οἰκιῶν ὀροφαῖς καὶ τοίχοις καὶ ἐδάφει τὰ
still and in of-houses roofs and walls and floor the(-ones)

μὲν χρώμασι, τὰ δὲ λίθοις, τὰ δὲ χρυσῷ,
indeed with-colors the(-others) and with-stones the(-others) and with-gold
τὰ δ' ἐλέφαντι ποικιλλόντων,
the(-others) and with-ivory embellishing
118 τὰ δὲ αὐτῶν τοίχων γλυφαῖς, τὸ μὲν ἄριστον μὴ
the(-others) and of-very walls with-carvings the indeed best not
παραδέχεσθαι καθόλου τὰς πόλεις, τὸ δὲ ἡμῖν ἐν τῷ παρόντι
to-admit at-all the cities the but for-us in the present
λόγῳ διορίσαι μηδένα ἂν τοιοῦτον γίγνεσθαι τῶν ἡμετέρων
argument to-define none — such to-become of-the our
πενήτων, οἷς πρὸς τοὺς πλουσίους ἡμεῖς ἀγωνιζόμεθα
poor for-whom against the rich we contend
ὥσπερ χορῷ τὰ νῦν, οὐχ ὑπὲρ εὐδαιμονίας προκειμένου
as in-chorus the now not for happiness set-forth
τοῦ ἀγῶνος· οὐ γὰρ πενίᾳ τοῦτό γε πρόκειται τὸ ἆθλον
the contest not for for-poverty this at-least is-set the prize
οὐδὲ αὖ πλούτῳ, μόνης δὲ ἀρετῆς ἐστιν ἐξαίρετον·
nor in-turn for-wealth of-only but virtue it-is the-choice-reward
119 ἄλλως δὲ ὑπὲρ ἀγωγῆς τινος καὶ μετριότητος βίου. καὶ
otherwise but for training some and moderation of-life and
τοίνυν οὐδ' ὑποκριτὰς τραγικοὺς ἢ κωμικοὺς ἢ διά
then nor actors tragic or comic or through
τινων μίμων ἀκράτου γέλωτος δημιουργοὺς οὐδὲ ὀρχηστὰς
some mimes of-unmixed laughter craftsmen nor dancers
οὐδὲ χορευτὰς, πλήν γε τῶν ἱερῶν χορῶν, ἀλλ' οὐκ
nor chorus-singers except at-least the sacred choruses but not
ἐπί γε τοῖς Νιόβης ἢ Θυέστου πάθεσιν ᾄδοντας ἢ
at at-least the of-Niobe or of-Thyestes sufferings singing or
ὀρχουμένους, οὐδὲ κιθαρῳδοὺς οὐδὲ αὐλητὰς περὶ νίκης ἐν
dancing nor lyre-singers nor flute-players for victory in
θεάτροις ἁμιλλωμένους, εἰ καί τινες τῶν ἐνδόξων πόλεων
theaters competing if even some of-the famous cities

ἐπὶ τούτοις ἡμῖν δυσχερῶς ἔξουσι, Σμύρνα καὶ Χίος, καὶ
at these with-us displeased will-be Smyrna and Chios and
δῆτα σὺν ταύταις καὶ τὸ Ἄργος, ὡς τὴν Ὁμήρου τε καὶ
indeed with these also — Argos as the of-Homer both and
Ἀγαμέμνονος δόξαν οὐκ ἐώντων αὔξεσθαι τὸ γοῦν ἐφ' ἡμῖν·
of-Agamemnon glory not allowing to-increase the at-least in us
τυχὸν δὲ καὶ Ἀθηναῖοι χαλεπανοῦσιν, ἀτιμάζεσθαι 120
perhaps and also Athenians will-be-angry to-be-dishonored
νομίζοντες τοὺς σφετέρους ποιητὰς τραγικοὺς καὶ
thinking the their poets tragic and
κωμικούς, ὅταν τοὺς ὑπηρέτας αὐτῶν ἀφαιρώμεθα, μηδὲν
comic when the servants their we-take-away nothing
ἀγαθὸν φάσκοντες ἐπιτηδεύειν. εἰκὸς δὲ ἀγανακτεῖν
good saying to-pursue likely and to-be-indignant
καὶ Θηβαίους, ὡς τῆς νίκης αὐτῶν ὑβριζομένης, ἣν
also Thebans as the victory their being-insulted which
προεκρίθησαν ὑπὸ τῆς Ἑλλάδος νικᾶν ἐπ' αὐλητικῇ·
they-were-preferred by — Greece to-win in flute-playing
ταύτην δὲ τὴν νίκην οὕτω σφόδρα ἠγάπησαν, ὥστε 121
this and the victory so greatly they-loved that
ἀναστάτου τῆς πόλεως αὐτοῖς γενομένης καὶ ἔτι νῦν
ruined the city for-them having-become and still now
σχεδὸν οὔσης πλὴν μικροῦ μέρους, τῆς Καδμείας, τῶν
nearly being except small part the of-Cadmea of-the
μὲν ἄλλων οὐδενὸς ἐφρόντισαν τῶν ἠφανισμένων ἀπὸ
indeed other-things of-none they-took-thought of-the destroyed out-of
πολλῶν μὲν ἱερῶν, πολλῶν δὲ στηλῶν καὶ ἐπιγραφῶν,
many indeed temples many and pillars and inscriptions
τὸν δὲ Ἑρμῆν ἀναζητήσαντες πάλιν ἀνώρθωσαν, ἐφ' ᾧ
— but Hermes having-sought-out again they-set-up on which
ἦν τὸ ἐπίγραμμα τὸ περὶ τῆς αὐλητικῆς,
was the epigram the about the flute-playing

Ἑλλὰς μὲν Θήβας νικᾶν προέκρινεν ἐν αὐλοῖς·
Greece indeed Thebes to-win preferred in flutes

καὶ νῦν ἐπὶ μέσης τῆς ἀρχαίας ἀγορᾶς ἓν τοῦτο ἄγαλμα
and now in middle of-the ancient market-place one this statue
ἕστηκεν ἐν τοῖς ἐρειπίοις·
stands among the ruins

122 οὐ δὴ φοβηθέντες οὐδένα τούτων οὐδὲ τοὺς ἐπιτιμήσοντας
not indeed having-feared any of-these nor those going-to-censure
ἡμῖν, ὡς τὰ σπουδαιότατα παρὰ τοῖς Ἕλλησι ψέγομεν,
us as the most-serious-things among the Greeks we-blame
ἅπαντα τὰ τοιαῦτα οὐκ αἰδημόνων οὐδὲ ἐλευθέρων
all the such-things not of-modest nor of-free
ἀνθρώπων ἀποφαινόμενοι ἔργα, ὡς ἄλλα τε πολλὰ
men declaring works as others both many
δυσχερῆ πρόσεστιν αὐτοῖς καὶ δὴ μέγιστον τὸ τῆς
unpleasant-things attach to-them and indeed greatest the of-the
ἀναιδείας, τὸ μᾶλλον τοῦ δέοντος φρονεῖν τὸν ὄχλον,
shamelessness the more than-the needful to-think the mob
ὅπερ θρασύνεσθαι καλεῖν ὀρθότερον.
which to-be-insolent to-call more-correct

123 οὔκουν οὐδὲ κήρυκας ὠνίων οὐδὲ κλοπῶν ἢ δρασμῶν
not-then nor heralds of-wares nor of-thefts or of-runaways
μήνυτρα προτιθέντας ἐν ὁδοῖς καὶ ἐν ἀγορᾷ φθεγγομένους
rewards setting-forth in streets and in market-place crying-out
μετὰ πολλῆς ἐλευθερίας, οὐδὲ συμβολαίων καὶ προκλήσεων
with much freedom nor of-contracts and challenges
καὶ καθόλου τῶν περὶ δίκας καὶ ἐγκλήματα συγγραφεῖς,
and generally of-the-things about lawsuits and charges writers
προσποιουμένους νόμιμον ἐμπειρίαν, οὐδὲ αὖ τοὺς σοφούς
pretending-to lawful experience nor in-turn the clever

τε καὶ δεινοὺς δικορράφους τε καὶ συνηγόρους, μισθοῦ
both and skilled pettifoggers both and advocates for-hire
πᾶσιν ὁμοίως ἐπαγγελλομένους βοηθήσειν, καὶ ἀδικοῦσι
to-all alike promising to-be-going-to-help even those-doing-wrong
τὰ μέγιστα, καὶ ἀναισχυντήσειν ὑπὲρ τῶν ἀλλοτρίων
the greatest and to-be-going-to-be-shameless for the others'
ἀδικημάτων καὶ σχετλιάσειν καὶ βοήσεσθαι καὶ
wrongs and to-be-going-to-complain and to-be-going-to-shout and
ἱκετεύσειν ὑπὲρ τῶν οὔτε φίλων οὔτε συγγενῶν
to-be-going-to-supplicate for those neither friends nor kinsmen
σφίσιν ὄντων, σφόδρα ἐντίμους καὶ λαμπροὺς ἐνίους εἶναι
to-them being very honored and brilliant some to-be
δοκοῦντας ἐν τῇ πόλει, οὐδὲ τοιοῦτον οὐδένα ἀξιοῖμεν
seeming in the city nor such any would-we-think-fit
ἂν ἐκείνων γίγνεσθαι, παραχωρεῖν δὲ ἑτέροις.
— of-those to-become to-leave-it but to-others
χειροτέχνας μὲν γὰρ ἐξ αὐτῶν τινας ἀνάγκη γενέσθαι, 124
handicraftsmen indeed for from them some necessity to-become
γλωσσοτέχνας δὲ καὶ δικοτέχνας οὐδεμία ἀνάγκη. τούτων δὲ
tongue-craftsmen but and lawsuit-craftsmen no necessity of-these but
τῶν εἰρημένων τε καὶ ῥηθησομένων εἴ τινα δοκεῖ χρήσιμα
the said both and going-to-be-said if any seem useful
ταῖς πόλεσιν, ὥσπερ νῦν οἰκουμέναις, οἷον δὴ ἴσως τὸ
to-the cities as now inhabited such-as indeed perhaps the
περὶ τὴν τῶν δικῶν ἀναγραφὴν καὶ τῶν συμβολαίων, τάχα
about the of-the lawsuits recording and of-the contracts perhaps
δὲ καὶ κηρυγμάτων ἐνίων, ὅπως ἂν ἢ ὑφ' ὧν γιγνόμενα
and also of-proclamations some how — or by whom happening
ἥκιστα ἂν εἴη βλαβερὰ, οὐ νῦν καιρός ἐστι διορίζειν.
least — would-be harmful not now time it-is to-define

125 οὐ γὰρ πολιτείαν ἐν τῷ παρόντι διατάττομεν, ὁποία τις ἂν
not for constitution in the present we-arrange what-sort some —
ἢ ἀρίστη γένοιτο ἢ πολλῶν ἀμείνων, ἀλλὰ περὶ πενίας
either best might-become or than-many better but about poverty
προυθέμεθα εἰπεῖν ὡς οὐκ ἄπορα αὐτῇ τὰ πράγματά ἐστιν,
we-proposed to-say that not helpless for-it the affairs are
ᾗπερ δοκεῖ τοῖς πολλοῖς αὐτή τε εἶναι φευκτὸν καὶ
in-the-way-that seems to-the many itself both to-be to-be-fled and
κακόν, ἀλλὰ μυρίας ἀφορμὰς πρὸς τὸ ζῆν παρέχει τοῖς
evil but countless resources toward the living it-provides to-those
αὐτουργεῖν βουλομένοις οὔτε ἀσχήμονας οὔτε βλαβεράς.
to-work-themselves wishing neither unseemly nor harmful
126 ἀπὸ γὰρ αὐτῆς ἀρχῆς ταύτης τὰ περὶ γεωργίας καὶ
from for very beginning this the-things about farming and
θήρας προυτράπημεν προδιελθεῖν ἐπὶ πλέον πρότερον,
hunting we-were-prompted to-go-through-first at greater-length before
καὶ νῦν περὶ τῶν κατὰ ἄστυ ἐργασιῶν, τίνες αὐτῶν
and now about the in town occupations which of-them
πρέπουσαι καὶ ἀβλαβεῖς τοῖς μὴ κάκιστα βιωσομένοις
fitting and harmless to-those not most-badly going-to-live
καὶ τίνες χείρους ἂν ἀποτελοῖεν τοὺς ἐπ᾽ αὐτῶν.
and which worse — would-render those at them
127 εἰ δὲ πολλὰ τῶν εἰρημένων καθόλου χρήσιμά ἐστι πρὸς
if but many of-the said-things generally useful are for
πολιτείαν καὶ τὴν τοῦ προσήκοντος αἵρεσιν, ταύτῃ καὶ
constitution and the of-the fitting choice in-this-way also
δικαιότερον συγγνώμην ἔχειν τοῦ μήκους τῶν λόγων, ὅτι
more-justly pardon to-have for-the length of-the words that
οὐ μάτην ἄλλως οὐδὲ περὶ ἄχρηστα πλανωμένῳ πλείονες
not in-vain idly nor about useless-things for-one-wandering more
γεγόνασιν. ἡ γὰρ περὶ ἐργασιῶν καὶ τεχνῶν σκέψις καὶ
have-become the for about occupations and crafts inquiry and

καθόλου περὶ βίου προσήκοντος ἢ μὴ τοῖς μετρίοις καὶ καθ'
generally about life fitting or not for-the moderate also by
αὑτὴν ἀξία πέφηνεν πολλῆς καὶ πάνυ ἀκριβοῦς θεωρίας.
itself worthy has-appeared of-much and very exact study
χρὴ οὖν τὰς ἐκτροπὰς τῶν λόγων, ἂν καὶ σφόδρα 128
it-is-needful then the digressions of-the words if even very
μακροὶ δοκῶσι, μὴ μέντοι περί γε φαύλων μηδὲ ἀναξίων
long they-seem not however about at-least base nor unworthy
μηδὲ οὐ προσηκόντων, μὴ δυσκόλως φέρειν, ὡς οὐκ αὐτὴν
nor not fitting-things not with-difficulty to-bear as not itself
λιπόντος τὴν τῶν ὅλων ὑπόθεσιν τοῦ λέγοντος, ἕως ἂν
having-left the of-the whole subject the speaker as-long-as —
περὶ τῶν ἀναγκαίων καὶ προσηκόντων φιλοσοφίᾳ διεξίῃ.
about the necessary and fitting-things to-philosophy he-goes-through
σχεδὸν γὰρ κατὰ τοῦτο μιμούμενοι τοὺς κυνηγέτας οὐκ ἂν 129
nearly for in this imitating the hunters not —
ἁμαρτάνοιμεν· οἵ γε ἐπειδὰν τὸ πρῶτον ἴχνος ἐκλαβόντες
we-would-err who at-least whenever the first track having-picked-up
κἀκείνῳ ἑπόμενοι μεταξὺ ἐπιτύχωσιν ἑτέρῳ φανερωτέρῳ
and-that following meanwhile they-come-upon another more-visible
καὶ μᾶλλον ἐγγύς, οὐκ ὤκνησαν τούτῳ ξυνακολουθήσαντες,
and more near not have-hesitated this having-followed
καὶ ἑλόντες τὸ ἐμπεσὸν ὕστερον ***
and having-caught the having-fallen-in later (lacuna)
ἴσως οὖν οὐδὲ ἐκεῖνο μεμπτέον, ὅστις περὶ ἀνδρὸς δικαίου 130
perhaps then nor that one-must-blame who about man just
καὶ δικαιοσύνης λέγειν ἀρξάμενος, μνησθεὶς πόλεως
and justice to-speak having-begun having-mentioned city
παραδείγματος ἕνεκεν, πολλαπλάσιον λόγον ἀνάλωσεν
of-example for-the-sake many-times-greater discourse spent
περὶ πολιτείας, καὶ οὐ πρότερον ἀπέκαμε πρὶν ἢ πάσας
about constitution and not before grew-weary until — all

μεταβολὰς καὶ ἅπαντα γένη πολιτειῶν διεξῆλθε, πάνυ
changes and all kinds of-constitutions he-went-through very
ἐναργῶς τε καὶ μεγαλοπρεπῶς τὰ ξυμβαίνοντα περὶ
vividly both and magnificently the-things happening about
ἑκάστην ἐπιδεικνύς·
each showing

131 εἰ καὶ παρά τισιν αἰτίαν ἔχει περὶ τοῦ μήκους τῶν λόγων
if even with some blame he-has about the length of-the words
καὶ τῆς διατριβῆς τῆς περὶ τὸ παράδειγμα δήπουθεν· ἀλλ' ὡς
and the lingering the about the example surely but as
οὐδὲν ὄντα πρὸς τὸ προκείμενον τὰ εἰρημένα καὶ οὐδ'
nothing being toward the proposed the-things said and not-even
ὁπωστιοῦν σαφεστέρου δι' αὐτὰ τοῦ ζητουμένου γεγονότος,
in-any-way clearer through them the sought having-become
εὐθὺ τοῦ Ἴστρου καὶ τῆς Γετῶν χώρας ἢ Μυσῶν, ὥς
straight-to the Ister and the of-Getae country or of-Mysians as
φησιν Ὅμηρος κατὰ τὴν νῦν ἐπίκλησιν τοῦ ἔθνους.
says Homer according-to the present name of-the nation

17 ἦλθον δὲ οὐ χρημάτων ἔμπορος οὐδὲ τῶν πρὸς ὑπηρεσίαν
I-came and not of-goods merchant nor of-those for service
τοῦ στρατοπέδου σκευοφορῶν ἢ βοηλατῶν, οὐδὲ πρεσβείαν
of-the army baggage-carriers or ox-drivers nor embassy
ἐπρέσβευον συμμαχικὴν ἤ τινα εὔφημον, τῶν ἀπὸ
did-I-go-on allied or some auspicious of-those from

γλώττης μόνον συνευχομένων, γυμνὸς ἄτερ κόρυθός τε καὶ
tongue only praying-with naked without helmet both and
ἀσπίδος, οὐδ᾽ ἔχον ἔγχος, οὐ μὴν οὐδὲ ἄλλο ὅπλον οὐθέν.
shield nor having spear not indeed nor other weapon any
ὥστε ἐθαύμαζον ὅπως με ἠνείχοντο ὁρῶντες. οὔτε γὰρ 18
so-that I-wondered how me they-endured seeing neither for
ἱππεύειν ἐπιστάμενος οὔτε τοξότης ἱκανὸς ὢν οὔθ᾽
to-ride knowing nor archer competent being nor
ὁπλίτης, ἀλλ᾽ οὐδὲ τῶν κούφων καὶ ἀνόπλων ἀκοντιστὴς
hoplite but not-even of-the light and unarmed javelin-man
ἢ λιθοβόλος, οὐδ᾽ αὖ τεμεῖν ὕλην ἢ τάφρον ὀρύττειν
or stone-thrower nor in-turn to-cut wood or trench to-dig
δυνατὸς οὐδὲ ἀμῆσαι χιλὸν ἐκ πολεμίου λειμῶνος πυκνὰ
able nor to-mow fodder from enemy meadow often
μεταστρεφόμενος, οὐδὲ ἐγεῖραι σκηνὴν ἢ χάρακα, ὥσπερ
turning-around nor to-raise tent or palisade as
ἀμέλει ξυνέπονται τοῖς στρατοπέδοις πολεμικοί τινες
doubtless follow the armies military some
ὑπηρέται·
servants
πρὸς ἅπαντα δὴ ταῦτα ἀμηχάνως ἔχων ἀφικόμην 19
toward all indeed these-things helplessly being I-came
εἰς ἄνδρας οὐ νωθροὺς οὐδὲ σχολὴν ἄγοντας ἀκροᾶσθαι
to men not sluggish nor leisure having to-listen-to
λόγων, ἀλλὰ μετεώρους καὶ ἀγωνιῶντας καθάπερ ἵππους
words but excited and anxious like horses
ἀγωνιστὰς ἐπὶ τῶν ὑσπλήγων, οὐκ ἀνεχομένους τὸν
racing at the starting-ropes not enduring the
χρόνον, ὑπὸ σπουδῆς δὲ καὶ προθυμίας κόπτοντας τὸ
time through eagerness but and zeal striking the
ἔδαφος ταῖς ὁπλαῖς· ἔνθα γε ἦν ὁρᾶν πανταχοῦ
ground with-the hoofs where at-least it-was-possible to-see everywhere

μὲν ξίφη, πανταχοῦ δὲ θώρακας, πανταχοῦ δὲ δόρατα,
indeed swords everywhere and breastplates everywhere and spears
πάντα δὲ ἵππων, πάντα δὲ ὡπλισμένων ἀνδρῶν μεστά·
all-things and of-horses all-things and of-armed men full
20 μόνος δὴ ἐν τοσούτοις φαινόμενος ῥᾳθυμος ἀτεχνῶς
alone indeed among so-many appearing easygoing simply
σφόδρα τε εἰρηνικὸς πολέμου θεατής, τὸ μὲν σῶμα
very both peaceful of-war spectator the indeed body
ἐνδεής, τὴν δὲ ἡλικίαν προήκων, οὐ χρυσοῦν σκῆπτρον
weak the but age advanced not golden scepter
φέρων οὐδὲ στέμματα ἱερὰ θεοῦ τινος, ἐπὶ λύσει θυγατρὸς
carrying nor wreaths sacred of-god some for release of-daughter
ἥκων εἰς τὸ στρατόπεδον ἀναγκαίαν ὁδόν, ἀλλ' ἐπιθυμῶν
coming into the camp necessary journey but desiring
ἰδεῖν ἄνδρας ἀγωνιζομένους ὑπὲρ ἀρχῆς καὶ δυνάμεως,
to-see men contending for empire and power
τοὺς δὲ ὑπὲρ ἐλευθερίας τε καὶ πατρίδος· ἔπειτα οὐ
the(-others) and for freedom both and fatherland then not
τὸν κίνδυνον ἀποκνήσας, μὴ τοῦτο ἡγησάσθω μηδείς,
the danger having-shrunk-from not this let-think anyone
ἀλλ' εὐχῆς τινος μνησθεὶς παλαιᾶς δεῦρο ἀπετράπην
but of-vow some having-remembered old hither I-turned-aside
πρὸς ὑμᾶς, ἀεὶ τὰ θεῖα κρείττω καὶ προυργιαίτερα
to you always the divine-things stronger and more-important
νομίζων τῶν ἀνθρωπίνων, ἡλίκα ἂν ᾖ.
thinking than-the human how-great-ever — they-be

Rather than describe the Ister and the land of the Getae, Dio turns to the older and greater story of Zeus, king and father of gods and men, and, like Hesiod, begins with the Muses. Should the Eleans only gaze at Phidias' statue, which he matched to Homer's verses, or also weigh the poems and images that shape men's notion of the divine? The first source of men's idea of the gods is innate: living in the midst of the divine, seeing sun, moon, and stars, and nourished by earth and air, men could not fail to perceive and love their maker, as an initiate in a great hall of mysteries could not fail to sense a purpose. Even beasts know and honor the god, and plants bear their fruit willingly.

πότερον οὖν ἥδιον ὑμῖν καὶ μᾶλλον ἐν καιρῷ περὶ τῶν 21
whether then more-pleasant for-you and more in season about the-things
ἐκεῖ διηγήσασθαι, τοῦ τε ποταμοῦ τὸ μέγεθος καὶ τῆς
there to-narrate of-the both river the size and of-the
χώρας τὴν φύσιν ἢ ὡρῶν ὡς ἔχουσι κράσεως καὶ περὶ τῶν
country the nature or of-seasons how they-have of-mixture and about of-the
ἀνθρώπων τοῦ γένους, ἔτι δὲ οἶμαι τοῦ πλήθους καὶ τῆς
men the race still and I-think of-the multitude and the
παρασκευῆς, ἢ μᾶλλον ἅψασθαι τῆς πρεσβυτέρας τε καὶ
equipment or rather to-touch the older both and
μείζονος ἱστορίας περὶ τοῦδε τοῦ θεοῦ, παρ' ᾧ νῦν ἐσμεν;
greater story about this the god with whom now we-are
οὗτος γὰρ δὴ κοινὸς ἀνθρώπων καὶ θεῶν βασιλεύς 22
this-one for indeed common of-men and of-gods king
τε καὶ ἄρχων καὶ πρύτανις καὶ πατήρ, ἔτι δὲ εἰρήνης
both and ruler and president and father still and of-peace
καὶ πολέμου ταμίας, ὡς τοῖς πρότερον ἐμπείροις καὶ
and war steward as to-the earlier experienced and
σοφοῖς ποιηταῖς ἔδοξεν, ἐάν πως ἱκανοὶ γενώμεθα τήν
wise poets seemed if somehow able we-become the

τε φύσιν αὐτοῦ καὶ τὴν δύναμιν ὑμνῆσαι λόγῳ βραχεῖ
both nature his and the power to-hymn in-speech short
καὶ ἀποδέοντι τῆς ἀξίας, αὐτά που ταῦτα λέγοντες.
and falling-short of-the worth the-very somewhere these-things saying
23 ἆρ᾽ οὖν κατὰ Ἡσίοδον ἄνδρα ἀγαθὸν καὶ Μούσαις
then then according-to Hesiod man good and to-Muses
φίλον ἀρκτέον, ὡς ἐκεῖνος μάλα ἐμφρόνως οὐκ αὐτὸς
dear must-one-begin as he very sensibly not himself
ἐτόλμησεν ἄρξασθαι παρ᾽ αὑτοῦ διανοηθείς, ἀλλὰ
dared to-begin from himself having-thought-it-out but
τὰς Μούσας παρακαλεῖ διηγήσασθαι περὶ τοῦ σφετέρου
the Muses summons to-narrate about the their-own
πατρός; τῷ παντὶ γὰρ μᾶλλον πρέπον τόδε τὸ ᾆσμα
father in-the all for more fitting this the song
ταῖς θεαῖς ἢ τοὺς ἐπὶ Ἴλιον ἐλθόντας ἀριθμεῖν, αὐτούς
for-the goddesses than those to Ilium having-gone to-number themselves
τε καὶ τὰ σέλματα τῶν νεῶν ἐφεξῆς, ὧν οἱ πολλοὶ
both and the decks of-the ships in-order of-whom the many
ἀνόητοι ἦσαν· καὶ ποιητὴς σοφώτερός τε καὶ ἀμείνων
foolish were and poet wiser both and better
ὁ παρακαλῶν ἐπὶ τοῦτο τὸ ἔργον ὧδέ πως·
the(-one) summoning to this the work thus somehow

24 Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι,
Muses from-Pieria with-songs glorifying
δεῦτε Δῖ᾽ ἐννέπετε σφέτερον πατέρ᾽ ὑμνείουσαι,
come-hither of-Zeus tell your-own father hymning
ὅντε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε
whom through mortal men alike unspoken both spoken both
ῥητοί τ᾽ ἄρρητοί τε, Διὸς μεγάλοιο ἕκητι·
famed both unfamed both of-Zeus great by-the-will

ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
easily indeed for he-makes-strong easily and the-strong he-oppresses
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
easily and the-conspicuous he-diminishes and the-obscure increases
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
easily and indeed straightens the-crooked and the-proud withers
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
Zeus high-thundering who highest halls dwells-in

ὑπολαβόντες οὖν εἴπατε πότερον ἁρμόζων ὁ λόγος οὗτος 25
taking-up then tell whether fitting the speech this
καὶ τὸ ᾆσμα τῇ συνόδῳ γένοιτ' ἄν, ὦ παῖδες Ἠλείων· ὑμεῖς
and the song to-the assembly would-be — O sons of-Eleans you
γὰρ ἄρχοντες καὶ ἡγεμόνες τῆσδε τῆς πανηγύρεως, ἔφοροί
for rulers and leaders of-this the festival overseers
τε καὶ ἐπίσκοποι τῶν ἐνθάδε ἔργων καὶ λόγων· ἢ δεῖ
both and inspectors of-the here deeds and words or it-is-needful
θεατὰς εἶναι μόνον τοὺς ἐνθάδε ἥκοντας τῶν τε ἄλλων
spectators to-be only those here having-come of-the both other
δῆλον ὅτι παγκάλων καὶ σφόδρα ἐνδόξων θεαμάτων καὶ δὴ
clear that all-beautiful and very famous spectacles and indeed
μάλιστα τῆς τοῦ θεοῦ τῷ ὄντι μακαρίας εἰκόνος, ἣν ὑμῶν
most of-the of-the god in-the being blessed image which your
οἱ πρόγονοι δαπάνης τε ὑπερβολῇ καὶ τέχνης ἐπιτυχόντες
the ancestors of-expense both by-excess and of-art having-attained
τῆς ἄκρας εἰργάσαντο καὶ ἀνέθεσαν πάντων, ὅσα ἐστὶν
the highest wrought and dedicated of-all as-many-as are
ἐπὶ γῆς ἀγάλματα, κάλλιστον καὶ θεοφιλέστατον, πρὸς
on earth statues most-beautiful and dearest-to-the-gods to
τὴν Ὁμηρικὴν ποίησιν, ὥς φασι, Φειδίου παραβαλλομένου,
the Homeric poetry as they-say Phidias comparing-it

26 τοῦ κινήσαντος ὀλίγῳ νεύματι τῶν ὀφρύων τὸν
of-the(-one) having-moved with-small nod of-the brows the
ξύμπαντα Ὄλυμπον, ὡς ἐκεῖνος μάλιστα ἐναργῶς καὶ
whole Olympus as he most vividly and
πεποιθότως ἐν τοῖς ἔπεσιν εἴρηκεν,
confidently in the verses has-said

ἦ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων,
spoke and with-dark on brows nodded Cronion
ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
ambrosial and then locks streamed-down of-the-lord
κρατὸς ἀπ᾽ ἀθανάτοιο, μέγαν δ᾽ ἐλέλιξεν Ὄλυμπον.
head from immortal great and he-shook Olympus

ἢ καὶ περὶ αὐτῶν τούτων σκεπτέον ἡμῖν ἐπιμελέστερον
or also about these-very these-things one-must-consider by-us more-carefully
τῶν τε ποιημάτων καὶ ἀναθημάτων καὶ ἁτεχνῶς εἴ τι
the both poems and dedications and simply if anything
τοιουτότροπόν ἐστι, τὴν ἀνθρωπίνην περὶ τοῦ δαιμονίου
of-such-kind is the human about the divine
δόξαν ἁμῃγέπῃ πλάττον καὶ ἀνατυποῦν, ἅτε ἐν φιλοσόφου
opinion somehow molding and shaping as in philosopher's
διατριβῇ τὰ νῦν.
lecture the now

27 περὶ δὴ θεῶν τῆς τε καθόλου φύσεως καὶ μάλιστα τοῦ
about indeed gods the both general nature and most of-the
πάντων ἡγεμόνος πρῶτον μὲν καὶ ἐν πρώτοις δόξα
of-all leader first indeed and among first opinion
καὶ ἐπίνοια κοινὴ τοῦ ξύμπαντος ἀνθρωπίνου γένους,
and conception common of-the whole human race
ὁμοίως μὲν Ἑλλήνων, ὁμοίως δὲ βαρβάρων, ἀναγκαία
alike indeed of-Greeks alike and of-barbarians necessary

καὶ ἔμφυτος ἐν παντὶ τῷ λογικῷ γιγνομένη κατὰ φύσιν
and innate in every the rational-being arising by nature
ἄνευ θνητοῦ διδασκάλου καὶ μυσταγωγοῦ χωρὶς ἀπάτης
without mortal teacher and mystagogue apart-from deceit
καὶ χαρᾶς διά τε τὴν ξυγγένειαν τὴν πρὸς αὐτοὺς καὶ
and joy through both the kinship the toward them and
πολλὰ μαρτύρια τἀληθοῦς, οὐκ ἐῶντα κατανυστάξαι καὶ
many testimonies of-the-truth not allowing to-doze and
ἀμελῆσαι τοὺς πρεσβυτάτους καὶ παλαιοτάτους·
to-neglect the oldest and most-ancient
ἅτε γὰρ οὐ μακρὰν οὐδ' ἔξω τοῦ θείου διῳκισμένοι 28
as for not far nor outside the divine settled-apart
καθ' αὑτούς, ἀλλὰ ἐν αὐτῷ μέσῳ πεφυκότες, μᾶλλον
by themselves but in it-very middle having-grown rather
δὲ συμπεφυκότες ἐκείνῳ καὶ προσεχόμενοι πάντα τρόπον,
but having-grown-together with-it and attached every way
οὐκ ἐδύναντο μέχρι πλείονος ἀξύνετοι μένειν,
not they-could for longer without-understanding to-remain
περιλαμπόμενοι πάντοθεν θείοις καὶ μεγάλοις φάσμασιν
being-illumined from-all-sides by-divine and great apparitions
οὐρανοῦ τε καὶ ἄστρων, ἔτι δὲ ἡλίου καὶ σελήνης,
of-heaven both and stars still and of-sun and moon
νυκτός τε καὶ ἡμέρας ἐντυγχάνοντες ποικίλοις καὶ
of-night both and day meeting with-varied and
ἀνομοίοις εἴδεσιν, ὄψεις τε ἀμηχάνους ὁρῶντες καὶ
unlike forms sights both unspeakable seeing and
φωνὰς ἀκούοντες παντοδαπὰς ἀνέμων τε καὶ ὕλης καὶ
sounds hearing of-all-kinds of-winds both and wood and
ποταμῶν καὶ θαλάττης, ἔτι δὲ ζῴων ἡμέρων καὶ
rivers and sea still and of-animals tame and
ἀγρίων, αὐτοί τε φθόγγον ἥδιστον καὶ σαφέστατον
wild themselves both sound sweetest and clearest

ἱέντες καὶ ἀγαπῶντες τῆς ἀνθρωπίνης φωνῆς τὸ γαῦρον
uttering and loving of-the human voice the exultant
καὶ ἐπιστῆμον, ἐπιθέμενοι σύμβολα τοῖς εἰς αἴσθησιν
and knowing having-set signs to-the-things to perception
ἀφικνουμένοις, ὡς πᾶν τὸ νοηθὲν ὀνομάζειν καὶ δηλοῦν,
arriving so-as every the thing-thought to-name and to-show
29 εὐμαρῶς ἀπείρων πραγμάτων μνήμας καὶ ἐπινοίας
easily of-countless things memories and conceptions
παραλαμβάνοντες. πῶς οὖν ἀγνῶτες εἶναι ἔμελλον καὶ
receiving how then ignorant to-be were-they-going and
μηδεμίαν ἔξειν ὑπόνοιαν τοῦ σπείραντος καὶ
no to-be-going-to-have suspicion of-the(-one) having-sown and
φυτεύσαντος καὶ σῴζοντος καὶ τρέφοντος, πανταχόθεν
having-planted and preserving and nourishing from-all-sides
ἐμπιμπλάμενοι τῆς θείας φύσεως διά τε ὄψεως καὶ
being-filled of-the divine nature through both sight and
ἀκοῆς συμπάσης τε ἀτεχνῶς αἰσθήσεως; νεμόμενοι μὲν
hearing all both simply sense dwelling indeed
ἐπὶ γῆς, ὁρῶντες δ' ἐξ οὐρανοῦ φῶς,
on earth seeing but from heaven light
30 τροφὰς δὲ ἀφθόνους ἔχοντες, εὐπορήσαντος καὶ
foods and abundant having having-provided and
προπαρασκευάσαντος τοῦ προπάτορος θεοῦ πρώτην μὲν
having-prepared-beforehand the forefather god first indeed
τοῖς πρώτοις καὶ αὐτόχθοσι τὴν γεώδη, μαλακῆς ἔτι καὶ
to-the first and earth-born the earthy soft still and
πίονος τῆς ἰλύος τότε οὔσης, ὥσπερ ἀπὸ μητρὸς τῆς γῆς
fat the mud then being as from mother the earth
λιχμωμένοις καὶ, καθάπερ τὰ φυτὰ νῦν, ἕλκουσι τὴν ἐξ
licking and just-as the plants now drawing the from
αὐτῆς ἰκμάδα, δευτέραν δὲ τοῖς ἤδη προϊοῦσι καρπῶν τε
it moisture second and to-those already advancing of-fruits both

αὐτομάτων καὶ πόας οὐ σκληρᾶς ἅμα δρόσῳ γλυκείᾳ
spontaneous and grass not hard together-with dew sweet
καὶ νάμασι νυμφῶν ποτίμοις, καὶ δὴ καὶ τοῦ περιέχοντος
and streams of-nymphs drinkable and indeed also on-the surrounding-air
ἠρτημένοι καὶ τρεφόμενοι τῇ διηνεκεῖ τοῦ πνεύματος
hanging and being-nourished by-the continuous of-the breath
ἐπιρροῇ, ἀέρα ὑγρὸν ἕλκοντες, ὥσπερ νήπιοι παῖδες,
inflow air moist drawing like infant children
οὔποτε ἐπιλείποντος γάλακτος ἀεί σφισι θηλῆς ἐγκειμένης.
never failing milk always for-them of-teat being-laid-in
σχεδὸν γὰρ ἂν ταύτην δικαιότερον λέγοιμεν πρώτην 31
nearly for — this more-justly we-would-call first
τροφὴν τοῖς τε πρότερον καὶ τοῖς ὕστερον ἁπλῶς.
nourishment for-those both before and for-those after simply
ἐπειδὰν γὰρ ἐκπέσῃ τῆς γαστρὸς νωθρὸν ἔτι καὶ ἀδρανὲς
when for it-falls-out of-the womb sluggish still and feeble
τὸ βρέφος, δέχεται μὲν ἡ γῆ, ἡ τῷ ὄντι μήτηρ, ὁ δὲ ἀὴρ
the infant receives indeed the earth the in-the being mother the but air
εἰσπνεύσας τε καὶ ψύξας εὐθὺς ἤγειρεν ὑγροτέρᾳ τροφῇ
having-breathed-in both and having-chilled at-once roused with-moister food
γάλακτος καὶ φθέγξασθαι παρέσχεν. ταύτην εἰκότως πρώτην
than-milk and to-cry granted this fittingly first
λέγοιτ᾽ ἂν τοῖς γεννωμένοις ἡ φύσις ἐπισχεῖν θηλήν.
might-be-called — for-those being-born the nature to-hold-out teat
ἃ δὴ πάσχοντες, ἐπινοοῦντες οὐκ ἐδύναντο μὴ 32
which indeed experiencing perceiving not they-could not
θαυμάζειν καὶ ἀγαπᾶν τὸ δαιμόνιον, πρὸς δὲ αὖ τούτοις
to-wonder-at and to-love the divine besides and in-turn these
αἰσθανόμενοι τῶν ὡρῶν, ὅτι τῆς ἡμετέρας ἕνεκα γίγνονται
perceiving the seasons that the our for-the-sake happen
σωτηρίας πάνυ ἀκριβῶς καὶ πεφεισμένως ἑκατέρας τῆς
safety very exactly and sparingly of-either the

ὑπερβολῆς, καὶ τόδε ἐξαίρετον ἔχοντες ἐκ τῶν θεῶν πρὸς
excess and this choice-gift having from the gods beyond
τὰ ἄλλα ζῷα, λογίζεσθαι καὶ διανοεῖσθαι περὶ αὐτῶν.
the other animals to-reason and to-think about them
33 σχεδὸν οὖν ὅμοιον ὥσπερ εἴ τις ἄνδρα Ἕλληνα ἢ
nearly then like as if anyone man Greek or
βάρβαρον μυοίη παραδοὺς εἰς μυστικόν τινα οἶκον
barbarian should-initiate having-handed-over into mystic some house
ὑπερφυῆ κάλλει καὶ μεγέθει, πολλὰ μὲν ὁρῶντα μυστικὰ
extraordinary in-beauty and size many indeed seeing mystic
θεάματα, πολλῶν δὲ ἀκούοντα τοιούτων φωνῶν, σκότους
sights many and hearing such voices of-darkness
τε καὶ φωτὸς ἐναλλὰξ αὐτῷ φαινομένων, ἄλλων τε μυρίων
both and light alternately to-him appearing others both countless
γιγνομένων, ἔτι δὲ καθάπερ εἰώθασιν ἐν τῷ καλουμένῳ
happening still and as they-are-wont in the so-called
θρονισμῷ καθίσαντες τοὺς μυουμένους οἱ τελοῦντες κύκλῳ
enthronement having-seated those being-initiated the initiators in-a-circle
περιχορεύειν· ἆρά γε τὸν ἄνδρα τοῦτον μηδὲν παθεῖν
to-dance-around then at-least the man this nothing to-feel
εἰκὸς τῇ ψυχῇ μηδ' ὑπονοῆσαι τὰ γιγνόμενα, ὡς μετὰ
likely in-the soul nor to-suspect the-things happening that with
γνώμης καὶ παρασκευῆς πράττεται σοφωτέρας, εἰ καὶ πάνυ
judgment and preparation is-done wiser if even very
τις εἴη τῶν μακρόθεν καὶ ἀνωνύμων βαρβάρων, μηδενὸς
some should-be of-the from-afar and nameless barbarians no
ἐξηγητοῦ μηδὲ ἑρμηνέως παρόντος, ἀνθρωπίνην ψυχὴν ἔχων;
expounder nor interpreter being-present human soul having
34 ἢ τοῦτο μὲν οὐκ ἀνυστόν, κοινῇ δὲ ξύμπαν τὸ τῶν
or this indeed not possible in-common but whole the of-the
ἀνθρώπων γένος τὴν ὁλόκληρον καὶ τῷ ὄντι τελείαν τελετὴν
men race the complete and in-the being perfect rite

μυούμενον, οὐκ ἐν οἰκήματι μικρῷ παρασκευασθέντι πρὸς
being-initiated not in building small prepared for
ὑποδοχὴν ὄχλου βραχέος ὑπὸ Ἀθηναίων, ἀλλὰ ἐν τῷδε τῷ
reception of-crowd small by Athenians but in this the
κόσμῳ, ποικίλῳ καὶ σοφῷ δημιουργήματι, μυρίων ἑκάστοτε
cosmos varied and wise handiwork countless each-time
θαυμάτων φαινομένων, ἔτι δὲ οὐκ ἀνθρώπων ὁμοίων τοῖς
marvels appearing still and not men like to-the
τελουμένοις, ἀλλὰ θεῶν ἀθανάτων θνητοὺς τελούντων, νυκτί
initiates but of-gods immortal mortals initiating by-night
τε καὶ ἡμέρᾳ, εἰ θέμις εἰπεῖν, ἀτεχνῶς περιχορευόντων ἀεί,
both and by-day if lawful to-say simply dancing-around always
τούτων ξυμπάντων μηδεμίαν αἴσθησιν μηδὲ ὑποψίαν λαβεῖν
of-these all no perception nor suspicion to-get
τοῦ κορυφαίου προεστῶτος τῶν ὅλων καὶ κατευθύνοντος τὸν
of-the leader presiding-over the whole and directing the
ἅπαντα οὐρανὸν καὶ κόσμον, οἷον σοφοῦ κυβερνήτου νεὼς
whole heaven and cosmos like wise pilot of-ship
ἄρχοντος πάνυ καλῶς τε καὶ ἀνενδεῶς παρεσκευασμένης;
commanding very well both and without-want equipped
οὐ γὰρ ἐπὶ τῶν ἀνθρώπων τὸ τοιοῦτον γιγνόμενον 35
not for in-the-case-of the men the such happening
θαυμάσαι τις ἄν, πολὺ δὲ μᾶλλον ὅπως καὶ μέχρι
would-wonder-at anyone — much but rather how even as-far-as
τῶν θηρίων διικνεῖται τῶν ἀφρόνων καὶ ἀλόγων, ὡς καὶ
the beasts it-reaches the senseless and irrational so-that even
ταῦτα γιγνώσκειν καὶ τιμᾶν τὸν θεὸν καὶ προθυμεῖσθαι
these to-know and to-honor the god and to-be-eager
ζῆν κατὰ τὸν ἐκείνου θεσμόν· ἔτι δὲ μᾶλλον ἀπεοικότως
to-live according-to the his ordinance still and more strangely
τὰ φυτά, οἷς μηδεμία μηδενὸς ἔννοια, ἀλλὰ ἄψυχα καὶ
the plants in-which no of-anything thought but soulless and

ἄφωνα ἁπλῇ τινι φύσει διοικούμενα, ὅμως δὲ καὶ αὐτὰ
voiceless by-simple some nature governed nevertheless but also they
ἑκουσίως καὶ βουλόμενα καρπὸν ἐκφέρει τὸν προσήκοντα
willingly and wishing fruit bear the fitting
ἑκάστῳ. οὕτω πάνυ ἐναργὴς καὶ πρόδηλος ἡ τοῦδε τοῦ
to-each so very manifest and evident the of-this the
θεοῦ γνώμη καὶ δύναμις.
god judgment and power

III · THE FOUR SOURCES OF BELIEF

Some men, wiser than all wisdom, stop their ears to all this, worship pleasure, and drive the gods out of the world. Dio returns to his theme: belief in the gods is innate, and also acquired through poets, who persuade, and lawgivers, who command. A fourth source is the painters and sculptors, such as Phidias, Polyclitus, and Zeuxis, who shaped men's notions of the divine, and beside these three interpreters stands the philosopher, the truest of all. Setting the lawgiver aside, Dio will test the best of the others for their service to piety.

36 ἀλλ' ἦπου σφόδρα γελοῖοι καὶ ἀρχαῖοι δόξομεν ἐπὶ
but surely very ridiculous and old-fashioned we-shall-seem in
τοῖς λόγοις, ἐγγυτέρω φάσκοντες εἶναι τὴν τοιαύτην
the words nearer claiming to-be the such
ξύνεσιν τοῖς θηρίοις καὶ τοῖς δένδροις ἢπερ ἡμῖν τὴν
understanding to-the beasts and to-the trees than to-us the
ἀπειρίαν τε καὶ ἄγνοιαν; ὁπότε ἄνθρωποί τινες σοφώτεροι
inexperience both and ignorance when men some wiser
γενόμενοι τῆς ἁπάσης σοφίας, οὐ κηρὸν ἐγχέαντες
having-become than-the all wisdom not wax having-poured
τοῖς ὠσίν, ὥσπερ οἶμαί φασι τοὺς Ἰθακησίους ναύτας
into-the ears as I-think they-say the Ithacan sailors

ὑπὲρ τοῦ μὴ κατακοῦσαι τῆς τῶν Σειρήνων ᾠδῆς, ἀλλὰ
for the not to-hear the of-the Sirens song but
μολύβδου τινὸς μαλθακὴν ὁμοῦ καὶ ἄτρωτον ὑπὸ φωνῆς
of-lead some soft at-once and invulnerable by voice
φύσιν, ἔτι δὲ οἶμαι πρὸ τῶν ὀφθαλμῶν σκότος πολὺ
nature still and I-think before the eyes darkness much
προβαλόμενοι καὶ ἀχλύν, ὑφ' ἧς Ὅμηρός φησι κωλύεσθαι
having-put-before-them and mist by which Homer says to-be-prevented
τὸν καταληφθέντα διαγιγνώσκειν θεόν, ὑπερφρονοῦσι τὰ
the(-one) seized to-discern god they-despise the
θεῖα, καὶ μίαν ἱδρυσάμενοι δαίμονα πονηρὰν καὶ ἄλυπον,
divine-things and one having-set-up deity wicked and painless
τρυφήν τινα ἢ ῥᾳθυμίαν πολλὴν καὶ ἀνειμένην ὕβριν,
luxury some or ease much and slack insolence
ἡδονὴν ἐπονομάζοντες, γυναικείαν τῷ ὄντι θεόν, προτιμῶσι
pleasure naming womanish in-the being god they-prefer
καὶ θεραπεύουσι κυμβάλοις τισὶν ἢ ψόφοις καὶ αὐλοῖς ὑπὸ
and worship with-cymbals some or noises and flutes under
σκότος αὐλουμένοις, ἧς εὐωχίας οὐδεὶς ἐκείνοις φθόνος,
darkness being-played of-which feasting no for-them grudge
εἰ μέχρι τοῦ ᾄδειν αὐτοῖς τὸ σοφὸν ἦν, ἀλλὰ μὴ τοὺς 37
if as-far-as the to-sing for-them the wisdom was but not the
θεοὺς ἡμῶν ἀφῃροῦντο καὶ ἀπῴκιζον, ἐξελαύνοντες ἐκ
gods from-us they-took-away and exiled driving-out from
τῆς αὑτῶν πόλεώς τε καὶ ἀρχῆς, ἐκ τοῦδε τοῦ κόσμου
the their-own city both and rule from this the cosmos
παντός, εἴς τινας χώρας ἀτόπους, καθάπερ ἀνθρώπους
whole to some regions strange like men
δυστυχεῖς εἴς τινας νήσους ἐρήμους· τάδε δὲ τὰ ξύμπαντα
unfortunate to some islands desert these and the all-things
φάσκοντες ἀγνώμονα καὶ ἄφρονα καὶ ἀδέσποτα καὶ μηδένα
claiming senseless and mindless and masterless and no

ἔχοντα ἄρχοντα μηδὲ ταμίαν μηδὲ ἐπιστάτην πλανᾶσθαι
having ruler nor steward nor overseer to-wander
εἰκῇ καὶ φέρεσθαι, μηδενὸς μήτε νῦν προνοοῦντος μήτε
at-random and to-be-carried no-one either now taking-forethought or
πρότερον ἐργασαμένου τὸ πᾶν, μηδὲ ὥσπερ οἱ παῖδες τοὺς
before having-made the whole nor as the children the
τροχοὺς αὐτοὶ κινήσαντες εἶτα ἐῶσιν ἀφ' αὑτῶν φέρεσθαι.
hoops themselves having-set-moving then let from themselves to-run
38 ταῦτα μὲν οὖν ἐπεξῆλθεν ὁ λόγος καθ' αὑτὸν ἐκβάς·
these-things indeed then went-through the speech by itself having-strayed
τυχὸν γὰρ οὐ ῥᾴδιον τὸν τοῦ φιλοσόφου νοῦν καὶ λόγον
perhaps for not easy the of-the philosopher mind and speech
ἐπισχεῖν, ἔνθα ἂν ὁρμήσῃ, τοῦ ξυναντῶντος ἀεὶ
to-check where-ever — it-rushes of-the(-thing) met always
φαινομένου ξυμφέροντος καὶ ἀναγκαίου τοῖς ἀκροωμένοις,
appearing beneficial and necessary to-those listening
οὐ μελετηθέντα πρὸς ὕδωρ καὶ δικανικὴν ἀνάγκην, ὥσπερ
not practiced against water and forensic necessity as
οὖν ἔφη τις, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ ἀδείας.
then said someone but with much license and freedom
οὐκοῦν τό γε ἀναδραμεῖν οὐ χαλεπόν, ὥσπερ ἐν πλῷ
therefore the at-least to-run-back not hard as in voyage
τοῖς ἱκανοῖς κυβερνήταις οὐ πολὺ παραλλάξασι.
for-the competent pilots not much having-swerved
39 τῆς γὰρ περὶ τὸ θεῖον δόξης καὶ ὑπολήψεως πρώτην μὲν
of-the for about the divine opinion and conception first indeed
ἀτεχνῶς πηγὴν ἐλέγομεν τὴν ἔμφυτον ἅπασιν ἀνθρώποις
simply source we-said the innate in-all men
ἐπίνοιαν, ἐξ αὐτῶν γιγνομένην τῶν ἔργων καὶ τἀληθοῦς,
conception from very arising the works and of-the-truth
οὐ κατὰ πλάνην συστᾶσαν οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ πάνυ
not by error formed nor as it-chanced but very

ἰσχυρὰν καὶ ἀέναον ἐκ τοῦ παντὸς χρόνου καὶ παρὰ
strong and ever-flowing from the all time and among
πᾶσι τοῖς ἔθνεσιν ἀρξαμένην καὶ διαμένουσαν, σχεδόν
all the nations having-begun and continuing nearly
τι κοινὴν καὶ δημοσίαν τοῦ λογικοῦ γένους· δευτέραν
somewhat common and public of-the rational race second
δὲ λέγομεν τὴν ἐπίκτητον καὶ δι᾽ ἑτέρων ἐγγιγνομένην
and we-call the acquired and through others arising-in
ταῖς ψυχαῖς λόγοις τε καὶ μύθοις καὶ ἔθεσι, τοῖς μὲν
the souls in-words both and myths and customs the(-ones) indeed
ἀδεσπότοις τε καὶ ἀγράφοις, τοῖς δὲ ἐγγράφοις καὶ
authorless both and unwritten the(-others) and written and
σφόδρα γνωρίμους ἔχουσι τοὺς κυρίους.
very well-known having the authors
τῆς δὲ τοιαύτης ὑπολήψεως τὴν μέν τινα ἑκουσίαν 40
of-the and such conception the(-one) indeed some voluntary
καὶ παραμυθητικὴν φῶμεν, τὴν δὲ ἀναγκαίαν καὶ
and persuasive let-us-call the(-other) and compulsory and
προστακτικήν. λέγω δὲ τοῦ μὲν ἑκουσίου καὶ παραμυθίας
prescriptive I-mean and of-the indeed voluntary and of-persuasion
ἐχομένην τὴν τῶν ποιητῶν, τοῦ δὲ ἀναγκαίου καὶ
holding the(-one) of-the poets of-the but compulsory and
προστάξεως τὴν τῶν νομοθετῶν· τούτων γὰρ οὐδετέραν
of-command the(-one) of-the lawgivers of-these for neither
ἰσχῦσαι δυνατὸν μὴ πρώτης ἐκείνης ὑπούσης, δι᾽ ἣν
to-have-force possible not first that being-beneath through which
βουλομένοις ἐγίγνοντο καὶ τρόπον τινὰ προειδόσιν αὐτοῖς
to-willing came and in-way some knowing-beforehand to-them
αἵ τε προστάξεις καὶ παραμυθίαι, τῶν μὲν ὀρθῶς καὶ
the both commands and persuasions of-the(-ones) indeed rightly and
ξυμφώνως ἐξηγουμένων ποιητῶν καὶ νομοθετῶν τῇ τε
harmoniously expounding poets and lawgivers with-the both

ἀληθείᾳ καὶ ταῖς ἐννοίαις, τῶν δὲ ἀποπλανωμένων
truth and the conceptions of-the(-others) and straying
ἔν τισιν.
in some-things

41 ἀμφοῖν δὲ τοῖν λεγομένοιν ποτέραν πρεσβυτέραν φῶμεν
of-both and the said which elder let-us-call
τῷ χρόνῳ παρά γε ἡμῖν τοῖς Ἕλλησι, οὐκ ἂν ἔχοιμι
in-the time with at-least us the Greeks not — I-could
διατεινόμενος εἰπεῖν ἐν τῷ παρόντι. πρέπει δὲ ἴσως
contending to-say in the present it-befits but perhaps
τὸ ἀζήμιον καὶ πειστικὸν ἀρχαιότερον εἶναι τοῦ μετὰ
the unpunishing and persuasive more-ancient to-be than-the with
ζημίας καὶ προστάξεως.
penalty and command

42 σχεδὸν οὖν μέχρι τοῦδε ὁμοίως πρόεισι τοῖς ἀνθρώποις τὰ
nearly then up-to this alike proceed for-the men the-things
περὶ τοῦ πρώτου καὶ ἀθανάτου γονέως, ὃν καὶ πατρῷον
about the first and immortal parent whom also paternal
Δία καλοῦμεν οἱ τῆς Ἑλλάδος κοινωνοῦντες, καὶ τὰ περὶ
Zeus we-call those — of-Greece sharing and the-things about
τῶν θνητῶν καὶ ἀνθρωπίνων γονέων. καὶ γὰρ δὴ ἡ πρὸς
the mortal and human parents and for indeed the toward
ἐκείνους εὔνοια καὶ θεραπεία τοῖς ἐκγόνοις πρώτη μὲν ἀπὸ
those goodwill and service for-the offspring first indeed from
τῆς φύσεως καὶ τῆς εὐεργεσίας ἀδίδακτος ὑπάρχει, τὸ
the nature and the benefaction untaught exists the(-one)
γεννῆσαν καὶ τρέφον καὶ στέργον τοῦ γεννηθέντος εὐθὺς
having-begotten and nourishing and loving the begotten at-once
ἀντιφιλοῦντος καὶ ἀντιθεραπεύοντος ὅπως ἂν ᾖ δυνατόν,
loving-in-return and serving-in-return how-ever — be possible

δευτέρα δὲ καὶ τρίτη ποιητῶν καὶ νομοθετῶν, τῶν 43
second and and third of-poets and lawgivers the(-ones)
μὲν παραινούντων μὴ ἀποστερεῖν χάριν τὸ πρεσβύτερον
indeed exhorting not to-deprive of-thanks the elder
καὶ ξυγγενές, ἔτι δὲ αἴτιον ζωῆς καὶ τοῦ εἶναι, τῶν
and kin still and cause of-life and of-the being the(-others)
δὲ ἐπαναγκαζόντων καὶ ἀπειλούντων κόλασιν τοῖς οὐ
and compelling and threatening punishment to-those not
πειθομένοις, ἄνευ τοῦ διασαφεῖν καὶ δηλοῦν ὁποῖοί τινές
obeying without the to-make-clear and to-show of-what-sort some
εἰσιν οἱ γονεῖς καὶ τίνων εὐεργεσιῶν χρέος ὀφειλόμενον
are the parents and of-what benefactions debt owed
κελεύουσι μὴ ἀνέκτιτον ἐᾶν. ὁρῶ μὲν οὖν ἔγωγε τοῖς
they-bid not unrepaid to-leave I-see indeed then I-at-least for-the
πολλοῖς πανταχοῦ τὴν ἀκρίβειαν κοπώδες καὶ τὰ περὶ
many everywhere the precision tiresome and the-things about
τοὺς λόγους οὐδὲν ἧττον οἷς μέλει πλήθους μόνον, οὐδὲν
the speeches no less to-whom it-matters of-multitude only nothing
προειπόντες οὐδὲ διαστειλάμενοι περὶ τοῦ πράγματος,
having-said-beforehand nor having-defined about the matter
οὐδὲ ἀπό τινος ἀρχῆς ἀρχόμενοι τῶν λόγων, ἀλλ᾽ αὐτό γε,
nor from some beginning beginning the speeches but it-self at-least
ὥς φασιν, ἀπλύτοις ποσὶ διεξίασι τὰ φανερώτατα καὶ
as they-say with-unwashed feet they-go-through the most-obvious and
γυμνότατα. καὶ ποδῶν μὲν ἀπλύτων οὐ μεγάλη βλάβη διά
barest and of-feet indeed unwashed not great harm through
τε πηλοῦ καὶ πολλῶν καθαρμάτων ἰόντων, γλώττης δὲ
both mud and many refuse going of-tongue but
ἀνεπιστήμονος οὐ μικρὰ ζημία γίγνεται τοῖς ἀκροωμένοις.
unskilled not small damage comes to-those listening
ἀλλὰ γὰρ εἰκὸς τοὺς πεπαιδευμένους, ὧν λόγον τινὰ ἔχειν
but for likely the educated of-whom account some to-have

ἄξιον, συνεξανύειν καὶ συνεκπονεῖν, μέχρις ἂν ὡς ἐκ καμπῆς
worthy to-help-accomplish and to-help-labor until — as from bend
τινος καὶ δυσχωρίας καταστήσωμεν εἰς εὐθεῖαν τοὺς λόγους.
some and rough-ground we-set onto straight the words
44 τριῶν δὴ προκειμένων γενέσεων τῆς δαιμονίου παρ᾽
three indeed being-proposed sources of-the divine among
ἀνθρώποις ὑπολήψεως, ἐμφύτου, ποιητικῆς, νομικῆς,
men conception innate poetic legal
τετάρτην φῶμεν τὴν πλαστικήν τε καὶ δημιουργικὴν τῶν
fourth let-us-call the plastic both and craftsman's of-those
περὶ τὰ θεῖα ἀγάλματα καὶ τὰς εἰκόνας, λέγω δὲ γραφέων
about the divine statues and the images I-mean and of-painters
τε καὶ ἀνδριαντοποιῶν καὶ λιθοξόων καὶ παντὸς ἁπλῶς
both and statue-makers and stone-carvers and every simply
τοῦ καταξιώσαντος αὑτὸν ἀποφῆναι μιμητὴν διὰ τέχνης
the(-one) having-thought-fit himself to-show imitator through art
τῆς δαιμονίας φύσεως, εἴτε σκιαγραφίᾳ μάλα ἀσθενεῖ
of-the divine nature whether by-shading-painting very weak
καὶ ἀπατηλῇ πρὸς ὄψιν, χρωμάτων μίξει καὶ γραμμῆς
and deceptive to sight of-colors by-mixture and of-line
ὅρῳ σχεδὸν τὸ ἀκριβέστατον περιλαμβανούσῃ, εἴτε
by-outline nearly the most-exact encompassing or
λίθων γλυφαῖς εἴτε ξοάνων ἐργασίαις, κατ᾽ ὀλίγον τῆς
of-stones by-carvings or of-wooden-images by-workings by little the
τέχνης ἀφαιρούσης τὸ περιττόν, ἕως ἂν καταλίπῃ αὐτὸ
art removing the superfluous until — it-leave the-very
τὸ φαινόμενον εἶδος, εἴτε χωνείᾳ χαλκοῦ καὶ τῶν ὁμοίων
the appearing form or by-casting of-bronze and of-the like-things
ὅσα τίμια διὰ πυρὸς ἐλαθέντων ἢ ῥυέντων ἐπί τινας
as-many-as precious through fire driven or having-flowed into some

τύπους, εἴτε κηροῦ πλάσει ῥᾷστα ξυνακολουθοῦντος τῇ
molds or of-wax by-modeling most-easily following the
τέχνῃ καὶ πλεῖστον ἐπιδεχομένου τὸ τῆς μετανοίας·
art and most admitting the of-the change-of-mind
οἷος ἦν Φειδίας τε καὶ Ἀλκαμένης καὶ Πολύκλειτος, ἔτι 45
such-as was Phidias both and Alcamenes and Polyclitus still
δὲ Ἀγλαοφῶν καὶ Πολύγνωτος καὶ Ζεῦξις καὶ πρότερος
and Aglaophon and Polygnotus and Zeuxis and earlier
αὐτῶν ὁ Δαίδαλος. οὐ γὰρ ἀπέχρη τούτοις περὶ τἄλλα
than-them — Daedalus not for sufficed for-these about the-rest
ἐπιδείκνυσθαι τὴν αὑτῶν δεινότητα καὶ σοφίαν, ἀλλὰ καὶ
to-show the their-own skill and wisdom but also
θεῶν εἰκόνας καὶ διαθέσεις παντοδαπὰς ἐπιδεικνύντες, ἰδίᾳ
of-gods images and dispositions of-every-kind displaying privately
τε καὶ δημοσίᾳ χορηγοὺς τὰς πόλεις λαμβάνοντες, πολλῆς
both and publicly as-patrons the cities taking much
ἐνέπλησαν ὑπονοίας καὶ ποικίλης περὶ τοῦ δαιμονίου, οὐ
filled-them-with conception and varied about the divine not
παντελῶς διαφερόμενοι τοῖς ποιηταῖς καὶ νομοθέταις,
altogether differing from-the poets and lawgivers
τὸ μὲν ὅπως μὴ δοκῶσι παράνομοι καὶ ταῖς ἐπικειμέναις
the(-one) indeed so-that not they-seem lawless and by-the imposed
ἐνέχωνται ζημίαις, τὸ δὲ ὁρῶντες προκατειλημμένους
be-held penalties the(-other) and seeing anticipated
αὐτοὺς ὑπὸ τῶν ποιητῶν καὶ πρεσβυτέραν οὖσαν τὴν
themselves by the poets and older being the
ἐκείνων εἰδωλοποιίαν. οὔκουν ἐβούλοντο φαίνεσθαι τοῖς
their image-making not-then they-wished to-appear to-the
πολλοῖς ἀπίθανοι καὶ ἀηδεῖς καινοποιοῦντες.
many unconvincing and unpleasant innovating

46 τὰ μὲν οὖν πολλὰ τοῖς μύθοις ἑπόμενοι καὶ συνηγοροῦντες
the indeed then many-things the myths following and advocating
ἔπλαττον, τὰ δὲ καὶ παρ᾽ αὑτῶν εἰσέφερον, ἀντίτεχνοι
they-fashioned the(-others) and also from themselves introduced rival-artists
καὶ ὁμότεχνοι τρόπον τινὰ γιγνόμενοι τοῖς ποιηταῖς, ὡς
and fellow-artists in-a-way some becoming to-the poets as
ἐκεῖνοι δι᾽ ἀκοῆς ἐπιδεικνύντες, ἀτεχνῶς καὶ αὐτοὶ
they through hearing displaying simply also themselves
δι᾽ ὄψεως ἐξηγούμενοι τὰ θεῖα τοῖς πλείοσι καὶ
through sight expounding the divine-things to-the more and
ἀπειροτέροις θεαταῖς. πάντα δὲ ταῦτα τὴν ἰσχὺν ἔσχεν
more-inexperienced spectators all and these-things the force had
ἀπὸ τῆς πρώτης ἀρχῆς ἐκείνης, ὡς ἐπὶ τιμῇ καὶ χάριτι
from the first beginning that as for honor and favor
ποιούμενα τοῦ δαιμονίου.
being-done of-the divine

47 καὶ μὴν τῆς ἁπλῆς καὶ πρεσβυτάτης ἐννοίας περὶ
and indeed of-the simple and oldest notion about
θεῶν καὶ ξυγγενῶς πᾶσιν ἀνθρώποις ἅμα τῷ
gods and connately in-all men together-with the
λόγῳ φυομένης πρὸς τοῖς τρισὶ τούτοις ἑρμηνεῦσι καὶ
reason growing besides the three these interpreters and
διδασκάλοις τέταρτον ἀνάγκη παραλαβεῖν, οὐδαμῇ ῥᾳθυμον
teachers fourth necessity to-take-in in-no-way careless
οὐδὲ ἀπείρως ἡγούμενον ἔχειν ὑπὲρ αὐτῶν, λέγω δὲ
nor inexperienced being-thought to-be about them I-mean and
τὸν φιλόσοφον ἄνδρα, λόγῳ ἐξηγητὴν καὶ προφήτην τῆς
the philosopher man in-word interpreter and prophet of-the
ἀθανάτου φύσεως ἀληθέστατον ἴσως καὶ τελειότατον.
immortal nature truest perhaps and most-perfect

τὸν μὲν οὖν νομοθέτην ἐάσωμεν τὰ νῦν εἰς εὐθύνας 48
the indeed then lawgiver let-us-forbear the now to account
ἄγειν, ἄνδρα αὐστηρὸν καὶ τοὺς ἄλλους αὐτὸν εὐθύνοντα·
to-bring man severe and the others himself calling-to-account
δέοι γὰρ ἂν αὐτὸν αὐτοῦ φείδεσθαι καὶ τῆς
it-would-be-needful for — himself himself to-spare and the
ὑμετέρας ἀσχολίας. ὑπὲρ δὲ τῶν λοιπῶν ἑκάστου γένους
your lack-of-leisure for and the remaining of-each kind
προχειρισάμενοι τὸν ἄκρον σκοπῶμεν, εἴ τινα ὠφέλειαν
having-chosen the highest let-us-consider whether any benefit
ἢ καὶ βλάβην φανήσονται πεποιηκότες πρὸς εὐσέβειαν
or also harm they-will-appear having-done toward piety
τοῖς αὑτῶν ἔργοις ἢ λόγοις, ὅπως τε ἔχουσιν ὁμολογίας
by-the their-own works or words how both they-have of-agreement
ἢ τοῦ διαφέρεσθαι ἀλλήλοις, καὶ τίς αὐτῶν ξυνέπεται
or of-the to-differ with-one-another and who of-them follows
τῷ ἀληθεῖ μάλιστα, τῇ πρώτῃ καὶ ἀδόλῳ γνώμῃ
the truth most with-the first and guileless judgment
σύμφωνος ὤν. πάντες οὗτοι ξυνᾴδουσιν, ὥσπερ ἑνὸς
harmonious being all these sing-together as of-one
ἴχνους λαβόμενοι, καὶ τοῦτο σῴζοντες, οἱ μὲν
track having-taken-hold and this preserving the(-ones) indeed
σαφῶς, οἱ δὲ ἀδηλότερον. οὐ γὰρ ἂν ἴσως δέοιτο
clearly the(-others) and more-obscurely not for — perhaps would-need
παραμυθίας ὁ τῇ ἀληθείᾳ φιλόσοφος, εἰ μὴ πρὸς
advocacy the(-one) in-the truth philosopher if not to
σύγκρισιν ἄγοιτο ποιηταῖς ἀγαλμάτων ἢ μέτρων, καὶ
comparison he-were-brought with-makers of-statues or of-meters and
ταῦτα ἐν ὄχλῳ πανηγύρεως ἐκείνοις φίλων δικαστῶν.
this in crowd of-festival to-them friendly judges

IV · PHIDIAS DEFENDS HIS ZEUS

Dio imagines Phidias called to account: his statue is a sight that makes even the most afflicted forget their griefs, and before it men had only vague imaginings, but is its form fitting for the god? Phidias answers that he did not invent men's ideas of the gods but found them in the poets. Mind cannot be pictured, so artists give the god a human body as the vessel of wisdom, a better symbol than the barbarians' animals; men long to approach the gods as children their parents. Homer gave Zeus locks and a chin and the gods councils and journeys, and likened Agamemnon to Zeus. Poetry is rich in words and free, and speech is the one great wealth of the human race.

49 εἰ γάρ τις Φειδίαν πρῶτον ἐν τοῖς Ἕλλησιν
if for anyone Phidias first among the Greeks
εὐθύνοι, τὸν σοφὸν τοῦτον καὶ δαιμόνιον ἐργάτην τοῦ
should-call-to-account the wise this and divine worker of-the
σεμνοῦ καὶ παγκάλου δημιουργήματος, καθίσας δικαστὰς
august and all-beautiful handiwork having-seated as-judges
τοὺς βραβεύοντας τῷ θεῷ τὸν ἀγῶνα, μᾶλλον δὲ κοινὸν
those presiding for-the god the contest rather but common
δικαστήριον ξυμπάντων Πελοποννησίων, ἔτι δὲ Βοιωτῶν καὶ
court of-all Peloponnesians still and of-Boeotians and
Ἰώνων καὶ τῶν ἄλλων Ἑλλήνων τῶν πανταχοῦ κατὰ τὴν
of-Ionians and of-the other Greeks those everywhere throughout —
Εὐρώπην καὶ τὴν Ἀσίαν, οὐ τῶν χρημάτων λόγον ἀπαιτῶν
Europe and — Asia not of-the money account demanding
οὐδὲ τῆς περὶ τὸ ἄγαλμα δαπάνης, ὁπόσων χρυσὸς ὠνήθη
nor of-the about the statue expense for-how-many gold was-bought
ταλάντων καὶ ἐλέφας, ἔτι δὲ κυπάριττος καὶ θύον πρὸς
talents and ivory still and cypress and thyine-wood for
τὴν ἐντὸς ἐργασίαν μόνιμος ὕλη καὶ ἀδιάφθορος, τροφῆς
the inside working lasting material and incorruptible of-food

τε καὶ μισθῶν ἀναλώματος τοῖς ἐργασαμένοις οὐκ ὀλίγοις
both and wages expenditure to-those having-worked not few
οὐδὲ ὀλίγον χρόνον ἄλλοις τε οὐ φαύλοις δημιουργοῖς
nor little time to-others both not base craftsmen
καὶ τὸν πλεῖστον μισθὸν ὑπὲρ τῆς τέχνης Φειδίᾳ·
and the greatest wage for the art to-Phidias
ταῦτα μὲν γὰρ Ἠλείοις προσήκοντα λογίσασθαι τοῖς 50
these-things indeed for for-Eleans fitting to-reckon to-those
ἀναλώσασιν ἀφθόνως καὶ μεγαλοπρεπῶς· ἡμεῖς δὲ ὑπὲρ
having-spent unstintingly and magnificently we but about
ἄλλου φήσομεν τῷ Φειδίᾳ προκεῖσθαι τὸν ἀγῶνα· εἰ
another-thing will-say — for-Phidias to-be-set the contest if
οὖν δὴ λέγοι τις πρὸς αὐτόν, ὦ βέλτιστε καὶ ἄριστε
then indeed should-say anyone to him O best and noblest
τῶν δημιουργῶν, ὡς μὲν ἡδὺ καὶ προσφιλὲς ὅραμα
of-the craftsmen that indeed sweet and lovely sight
καὶ τέρψιν ἀμήχανον θέας εἰργάσω πᾶσιν Ἕλλησι καὶ
and delight unspeakable of-spectacle you-wrought for-all Greeks and
βαρβάροις, ὅσοι ποτὲ δεῦρο ἀφίκοντο πολλοὶ πολλάκις,
barbarians as-many-as ever here came many often
οὐδεὶς ἀντερεῖ.
no-one will-deny
τῷ γὰρ ὄντι καὶ τὴν ἄλογον ἂν ἐκπλήξειε τοῦτό γε 51
in-the for being even the irrational — would-strike this at-least
τῶν ζῴων φύσιν, εἰ δύναιντο προσιδεῖν μόνον, ταύρων τε
of-the animals nature if they-could to-look-on only of-bulls both
τῶν ἀεὶ πρὸς τόνδε τὸν βωμὸν ἀγομένων, ὡς ἑκόντας
those always to this the altar being-led so-that willingly
ὑπέχειν τοῖς καταρχομένοις, εἴ τινα παρέξουσι τῷ θεῷ
to-submit to-those beginning-the-rite if any they-will-give to-the god
χάριν, ἔτι δὲ ἀετῶν τε καὶ ἵππων καὶ λεόντων, ὡς
pleasure still and of-eagles both and horses and lions so-that

τὸ ἀνήμερον καὶ ἄγριον σβέσαντας τοῦ θυμοῦ πολλὴν
the untamed and savage having-quenched of-the spirit much
ἡσυχίαν ἄγειν, τερφθέντας ὑπὸ τῆς θέας· ἀνθρώπων
quiet to-keep delighted by the sight of-men
δέ, ὃς ἂν ᾖ παντελῶς ἐπίπονος τὴν ψυχήν, πολλὰς
but whoever — be altogether burdened in-the soul many
ἀναντλήσας συμφορὰς καὶ λύπας ἐν τῷ βίῳ μηδὲ ὕπνον
having-drained misfortunes and griefs in the life not-even sleep
ἡδὺν ἐπιβαλλόμενος, καὶ ὃς δοκεῖ μοι κατ᾽ ἐναντίον
sweet getting even he seems to-me over against
στὰς τῆσδε τῆς εἰκόνος ἐκλαθέσθαι ἂν πάντων ὅσα
having-stood of-this the image to-forget — all as-many-as
ἐν ἀνθρωπίνῳ βίῳ δεινὰ καὶ χαλεπὰ γίγνεται παθεῖν.
in human life terrible and hard happen to-suffer
52 οὕτως σύγε ἀνεῦρες καὶ ἐμηχανήσω θέαμα, ἀτεχνῶς
so you-at-least found and contrived sight simply
νηπενθές τ᾽ ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων. τοσοῦτον
grief-banishing both gall-less and of-ills forgetful of-all so-great
φῶς καὶ τοσαύτη χάρις ἔπεστιν ἀπὸ τῆς τέχνης. οὐδὲ
light and so-great grace is-upon-it from the art not-even
γὰρ αὐτὸν τὸν Ἥφαιστον εἰκὸς ἐγκαλέσαι τῷδε τῷ ἔργῳ,
for the-very — Hephaestus likely to-fault this the work
κρίνοντα πρὸς ἡδονὴν καὶ τέρψιν ἀνθρωπίνης ὄψεως. εἰ δ᾽
judging by pleasure and delight of-human sight if but
αὖ τὸ πρέπον εἶδος καὶ τὴν ἀξίαν μορφὴν τῆς θεοῦ φύσεως
in-turn the fitting form and the worthy shape of-the god's nature
ἐδημιούργησας, ὕλῃ τε ἐπιτερπεῖ χρησάμενος, ἀνδρός
you-fashioned with-material both delightful having-used of-man
τε μορφὴν ὑπερφυᾶ τὸ κάλλος καὶ τὸ μέγεθος δείξας,
both shape extraordinary in-the beauty and the size having-shown
πλὴν ἀνδρὸς καὶ ἄλλα ποιήσας ὡς ἐποίησας, σκοπῶμεν τὰ
except of-man also the-rest having-made as you-made let-us-consider the

νῦν· ὑπὲρ ὧν ἀπολογησάμενος ἱκανῶς ἐν τοῖς παροῦσι, καὶ
now about which having-defended-yourself sufficiently in the present and
πείσας ὅτι τὸ οἰκεῖον καὶ τὸ πρέπον ἐξεῦρες σχήματός
having-persuaded that the proper and the fitting you-found of-figure
τε καὶ μορφῆς τῷ πρώτῳ καὶ μεγίστῳ θεῷ, μισθὸν ἕτερον
both and shape for-the first and greatest god wage other
τοῦ παρ' Ἠλείων προσλάβοις ἂν μείζω καὶ τελειότερον.
than-the from Eleans you-would-receive-besides — greater and more-perfect
ὁρᾷς γὰρ ὅτι οὐ μικρὸς ἀγὼν οὐδ' ὁ κίνδυνος ἡμῖν. 53
you-see for that not small the-contest nor the danger for-us
πρότερον μὲν γάρ, ἅτε οὐδὲν σαφὲς εἰδότες, ἄλλην ἄλλος
before indeed for as nothing clear knowing another another
ἀνεπλάττομεν ἰδέαν, κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ φύσιν
we-fashioned idea according-to the his-own power and nature
ἕκαστος ἐνδαλλόμενοι καὶ ὀνειρώττοντες· εἴ τέ πού τινα
each imagining and dreaming if both somewhere any
μικρὰ καὶ ἄσημα τῶν ἔμπροσθεν εἰκάσματα τεχνιτῶν, οὐ
small and insignificant of-the earlier likenesses of-artists not
πάνυ τούτοις οὔτε πιστεύοντες οὔτε προσέχοντες τὸν νοῦν.
very in-these either trusting or paying the mind
σὺ δέ γε ἰσχύϊ τέχνης ἐνίκησας καὶ ξυνέλεξας τὴν
you but at-least by-strength of-art conquered and gathered —
Ἑλλάδα πρῶτον, ἔπειτα τοὺς ἄλλους τῷδε τῷ φάσματι,
Greece first then the others by-this the apparition
θεσπέσιον καὶ λαμπρὸν ἀποδείξας, ὡς μηδένα τῶν
divine and brilliant having-shown so-that none of-those
ἰδόντων δόξαν ἑτέραν ἔτι λαβεῖν ῥᾳδίως.
having-seen conception other still to-get easily
ἆρ' οὖν οἴει τὸν Ἴφιτον καὶ τὸν Λυκοῦργον καὶ τοὺς 54
then then do-you-think — Iphitus and — Lycurgus and the
τότε Ἠλείους διὰ χρημάτων ἀπορίαν τὸν μὲν ἀγῶνα
then Eleans because-of of-money lack the indeed contest

καὶ τὴν θυσίαν ποιῆσαι τῷ Διὶ πρέπουσαν, ἄγαλμα
and the sacrifice to-have-made — for-Zeus fitting statue
δὲ μηδὲν ἐξευρεῖν ἐπ᾽ ὀνόματι καὶ σχήματι τοῦ θεοῦ,
but none to-have-devised for name and figure of-the god
σχεδόν τι προέχοντας δυνάμει τῶν ὕστερον, ἢ μᾶλλον
nearly somewhat excelling in-power those later or rather
φοβηθέντας μήποτε οὐ δύναιντο ἱκανῶς ἀπομιμήσασθαι
having-feared lest-ever not they-could sufficiently to-imitate
διὰ θνητῆς τέχνης τὴν ἄκραν καὶ τελειοτάτην φύσιν;
through mortal art the highest and most-perfect nature
55 πρὸς δὴ ταῦτα τυχὸν εἴποι ἂν Φειδίας, ἅτε ἀνὴρ οὐκ
to indeed these-things perhaps would-say — Phidias as man not
ἄγλωττος οὐδὲ ἀγλώττου πόλεως, ἔτι δὲ συνήθης καὶ
tongueless nor of-tongueless city still and intimate and
ἑταῖρος Περικλέους· Ἄνδρες Ἕλληνες, ὁ μὲν ἀγὼν τῶν
companion of-Pericles men Greeks the indeed contest of-the
πώποτε μέγιστος· οὐ γὰρ περὶ ἀρχῆς οὐδὲ περὶ στρατηγίας
ever greatest not for about empire nor about generalship
μιᾶς πόλεως οὐδὲ περὶ νεῶν πλήθους ἢ πεζοῦ στρατοπέδου,
of-one city nor about of-ships number or of-infantry army
πότερον ὀρθῶς ἢ μὴ διῴκηται, τὰ νῦν ὑπέχω λόγον,
whether rightly or not has-been-managed the now I-submit account
ἀλλὰ περὶ τοῦ πάντων κρατοῦντος θεοῦ καὶ τῆς πρὸς
but about the of-all ruling god and of-the toward
ἐκεῖνον ὁμοιότητος, εἴτε εὐσχημόνως καὶ προσεοικότως
him likeness whether becomingly and fittingly
γέγονεν, οὐδὲν ἐλλείπουσα τῆς δυνατῆς πρὸς τὸ
it-has-come-about in-nothing falling-short of-the possible toward the
δαιμόνιον ἀνθρώποις ἀπεικασίας, εἴτε ἀναξία καὶ ἀπρεπής.
divine for-men representation or unworthy and unfitting

ἐνθυμεῖσθε δὲ ὅτι οὐκ ἐγὼ πρῶτος ὑμῖν ἐγενόμην ἐξηγητὴς 56
consider but that not I first to-you became interpreter
καὶ διδάσκαλος τῆς ἀληθείας. οὐδὲ γὰρ ἔφυν ἔτι κατ᾽
and teacher of-the truth nor for was-I-born yet in
ἀρχὰς τῆς Ἑλλάδος οὐδέπω σαφῆ καὶ ἀραρότα δόγματα
beginnings — of-Greece not-yet clear and fixed doctrines
ἐχούσης περὶ τούτων, ἀλλὰ πρεσβυτέρας τρόπον τινὰ καὶ
having about these-things but older in-a-way some and
τὰ περὶ τοὺς θεοὺς ἤδη πεπεισμένης καὶ νομιζούσης
the-things about the gods already persuaded and believing
ἰσχυρῶς. καὶ ὅσα μὲν λιθοξόων ἔργα ἢ γραφέων
strongly and as-many-as indeed of-stone-carvers works or of-painters
ἀρχαιότερα τῆς ἐμῆς τέχνης σύμφωνα ἦσαν, πλὴν
older than-the my art harmonious they-were except
ὅσον κατὰ τὴν ἀκρίβειαν τῆς ποιήσεως, ἐῶ λέγειν.
as-much-as in the precision of-the making I-forbear to-say
δόξας δὲ ὑμετέρας κατέλαβον παλαιὰς ἀκινήτους, αἷς 57
opinions but yours I-found-in-possession old immovable which
οὐκ ἦν ἐναντιοῦσθαι δυνατόν, καὶ δημιουργοὺς ἄλλους
not it-was to-oppose possible and craftsmen others
περὶ τὰ θεῖα, πρεσβυτέρους ἡμῶν καὶ πολὺ σοφωτέρους
about the divine-things older than-us and much wiser
ἀξιοῦντας εἶναι, τοὺς ποιητάς, ἐκείνων μὲν δυναμένων εἰς
claiming to-be the poets those indeed being-able to
πᾶσαν ἐπίνοιαν ἄγειν διὰ τῆς ποιήσεως, τῶν δὲ ἡμετέρων
every conception to-lead through the poetry of-the but our
αὐτουργημάτων μόνην ταύτην ἱκανὴν ἐχόντων εἰκασίαν.
handiworks only this sufficient having likeness
τὰ γὰρ θεῖα φάσματα, λέγω δὲ ἡλίου καὶ σελήνης 58
the for divine apparitions I-mean and of-sun and moon
καὶ σύμπαντος οὐρανοῦ καὶ ἄστρων, αὐτὰ μὲν καθ᾽
and whole heaven and stars themselves indeed by

αὐτὰ φαινόμενα θαυμαστὰ πάντως, ἡ δὲ μίμησις αὐτῶν
themselves appearing marvelous altogether the but imitation of-them
ἁπλῆ καὶ ἄτεχνος, εἴ τις ἐθέλοι τὰ σελήνης σχήματα
simple and artless if anyone should-wish the of-moon shapes
ἀφομοιοῦν ἢ τὸν ἡλίου κύκλον· ἔτι δὲ ἤθους καὶ
to-copy or the of-sun circle still and of-character and
διανοίας αὐτὰ μὲν ἐκεῖνα μεστὰ πάντως, ἐν δὲ τοῖς
of-thought themselves indeed those full altogether in but the
εἰκάσμασιν οὐδὲν ἐνδεικνύμενα τοιοῦτον· ὅθεν ἴσως καὶ
likenesses nothing showing such whence perhaps even
τὸ ἐξ ἀρχῆς οὕτως ἐνομίσθη τοῖς Ἕλλησι.
the from beginning so was-held by-the Greeks
59 νοῦν γὰρ καὶ φρόνησιν αὐτὴν μὲν καθ' αὑτὴν οὔτε τις
mind for and wisdom itself indeed by itself neither any
πλάστης οὔτε τις γραφεὺς εἰκάσαι δυνατὸς ἔσται· ἀθέατοι
sculptor nor any painter to-represent able will-be unseen
γὰρ τῶν τοιούτων καὶ ἀνιστόρητοι παντελῶς πάντες.
for of-the such-things and uninvestigated altogether all
τὸ δὲ ἐν ᾧ τοῦτο γιγνόμενόν ἐστιν οὐχ ὑπονοοῦντες,
the(-thing) but in which this happening is not suspecting
ἀλλ' εἰδότες, ἐπ' αὐτὸ καταφεύγομεν, ἀνθρώπινον σῶμα
but knowing to it we-flee human body
ὡς ἀγγεῖον φρονήσεως καὶ λόγου θεῷ προσάπτοντες,
as vessel of-wisdom and reason to-god attaching
ἐνδείᾳ καὶ ἀπορίᾳ παραδείγματος τῷ φανερῷ τε καὶ
by-lack and want of-model by-the visible both and
εἰκαστῷ τὸ ἀνείκαστον καὶ ἀφανὲς ἐνδείκνυσθαι ζητοῦντες,
representable the unrepresentable and invisible to-show seeking
συμβόλου δυνάμει χρώμενοι, κρεῖττον ἤ φασι τῶν
of-symbol with-power using better than they-say of-the
βαρβάρων τινὰς ζῴοις τὸ θεῖον ἀφομοιοῦν κατὰ σμικρὰς
barbarians some to-animals the divine to-liken on small

καὶ ἀτόπους ἀφορμάς. ὁ δὲ πλεῖστον ὑπερβαλὼν κάλλει
and absurd starting-points he but most having-surpassed in-beauty
καὶ σεμνότητι καὶ μεγαλοπρεπείᾳ, σχεδὸν οὗτος πολὺ
and majesty and magnificence nearly this-one much
κράτιστος δημιουργὸς τῶν περὶ τὰ θεῖα ἀγαλμάτων.
best craftsman of-the about the divine-things statues
οὐδὲ γὰρ ὡς βέλτιον ὑπῆρχε μηδὲν ἵδρυμα μηδὲ εἰκόνα 60
nor for that better it-was no shrine nor image
θεῶν ἀποδεδεῖχθαι παρ᾽ ἀνθρώποις φαίη τις ἄν, ὡς
of-gods to-have-been-set-up among men would-say anyone — as
πρὸς μόνα ὁρᾶν δέον τὰ οὐράνια. ταῦτα μὲν γὰρ
at only to-look being-needful the heavenly-things these indeed for
ξύμπαντα ὅ γε νοῦν ἔχων σέβει, θεοὺς ἡγούμενος
all the(-one) at-least sense having reveres gods thinking
μακαρίους μακρόθεν ὁρῶν· διὰ δὲ τὴν πρὸς τὸ δαιμόνιον
blessed from-afar seeing through but the toward the divine
ὁρμὴν ἰσχυρὸς ἔρως πᾶσιν ἀνθρώποις ἐγγύθεν τιμᾶν καὶ
impulse strong love for-all men from-near to-honor and
θεραπεύειν τὸ θεῖον, προσιόντας καὶ ἁπτομένους μετὰ
to-serve the divine approaching and touching with
πειθοῦς, θύοντας καὶ στεφανοῦντας.
persuasion sacrificing and crowning
ἀτεχνῶς γὰρ ὥσπερ νήπιοι παῖδες πατρὸς ἢ μητρὸς 61
simply for as infant children from-father or mother
ἀπεσπασμένοι δεινὸν ἵμερον ἔχοντες καὶ πόθον ὀρέγουσι
torn-away terrible longing having and yearning stretch-out
χεῖρας οὐ παροῦσι πολλάκις ὀνειρώττοντες, οὕτω καὶ
hands not to-those-present often dreaming so also
θεοῖς ἄνθρωποι ἀγαπῶντες δικαίως διά τε εὐεργεσίαν
to-gods men loving justly through both benefaction
καὶ συγγένειαν, προθυμούμενοι πάντα τρόπον συνεῖναί τε
and kinship being-eager every way to-be-with both

καὶ ὁμιλεῖν· ὥστε καὶ πολλοὶ τῶν βαρβάρων πενίᾳ τε
and to-converse so-that even many of-the barbarians by-poverty both
καὶ ἀπορίᾳ τέχνης ὄρη θεοὺς ἐπονομάζουσι καὶ δένδρα
and lack of-art mountains gods name and trees
ἀργὰ καὶ ἀσήμους λίθους, οὐδαμῇ οἰκειότερα τῆς μορφῆς.
idle and unmarked stones in-no-way more-akin of-the form
62 εἰ δ' ὑμῖν ἐπαίτιός εἰμι τοῦ σχήματος, οὐκ ἂν
if but to-you to-blame I-am for-the figure not —
φθάνοιτε Ὁμήρῳ πρότερον χαλεπῶς ἔχοντες· ἐκεῖνος
you-could-be-too-soon with-Homer first angry being he
γὰρ οὐ μόνον μορφὴν ἐγγύτατα τῆς δημιουργίας ἐμιμήσατο,
for not only form very-nearest to-the craftsmanship imitated
χαίτας τε ὀνομάζων τοῦ θεοῦ, ἔτι δὲ ἀνθερεῶνα εὐθὺς
locks both naming of-the god still and chin at-once
ἐν ἀρχῇ τῆς ποιήσεως, ὅτε φησὶν ἱκετεύειν τὴν Θέτιν
in beginning of-the poem when he-says to-supplicate — Thetis
ὑπὲρ τιμῆς τοῦ παιδός· πρὸς δὲ τούτοις ὁμιλίας τε
for honor of-the son besides and these conversations both
καὶ βουλεύσεις καὶ δημηγορίας τοῖς θεοῖς, ἔτι δὲ ἐξ
and deliberations and harangues for-the gods still and from
Ἴδης ἀφίξεις πρὸς οὐρανὸν καὶ Ὄλυμπον, ὕπνους τε καὶ
Ida journeys to heaven and Olympus sleeps both and
συμπόσια καὶ μίξεις, μάλα μὲν ὑψηλῶς σύμπαντα κοσμῶν
banquets and unions very indeed loftily all adorning
τοῖς ἔπεσιν, ὅμως δὲ ἐχόμενα θνητῆς ὁμοιότητος. καὶ
with-the verses nevertheless but holding-to mortal likeness and

δή γε καὶ ὁπότε ἐτόλμησεν Ἀγαμέμνονα προσεικάσαι
indeed at-least also when he-dared Agamemnon to-liken
τοῦ θεοῦ τοῖς κυριωτάτοις μέρεσιν εἰπών,
of-the god to-the most-sovereign parts saying

ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ.
in-eyes and head like to-Zeus delighting-in-thunder

τὸ δέ γε τῆς ἐμῆς ἐργασίας οὐκ ἄν τις οὐδὲ 63
the(-thing) but at-least of-the my work not — anyone even
μανείς τινι ἀφομοιώσειεν θνητῷ, πρὸς κάλλος ἢ
having-gone-mad to-any would-liken mortal for beauty or
μέγεθος συνεξεταζόμενον. μὴ Ὁμήρου πολὺ φανῶ κρείττων
size being-examined-together if-not than-Homer much I-appear better
καὶ σωφρονέστερος ποιητής, τοῦ δόξαντος ὑμῖν ἰσοθέου
and more-temperate poet the(-one) having-seemed to-you equal-to-god
τὴν σοφίαν, ἣν βούλεσθε ζημίαν ἕτοιμος ὑπέχειν ἐγώ.
in-the wisdom whatever you-wish penalty ready to-undergo I
λέγω δὲ πρὸς τὸ δυνατὸν τῆς ἐμαυτοῦ τέχνης·
I-speak but with-regard-to the possibility of-the my-own art
δαψιλὲς γὰρ χρῆμα ποίησις καὶ πάντα τρόπον εὔπορον 64
abundant for thing poetry and every way resourceful
καὶ αὐτόνομον, καὶ χορηγίᾳ γλώττης καὶ πλήθει
and independent and by-supply of-tongue and by-multitude
ῥημάτων ἱκανὸν ἐξ αὐτοῦ πάντα δηλῶσαι τὰ τῆς ψυχῆς
of-words able from itself all to-express the of-the soul
βουλήματα, κἂν ὁποιονοῦν διανοηθῇ σχῆμα ἢ ἔργον ἢ
wishes and-if any-whatever it-conceive figure or deed or
πάθος ἢ μέγεθος, οὐκ ἂν ἀπορήσειεν ἀγγέλου φωνῆς
passion or size not — it-would-be-at-a-loss of-messenger voice
πάνυ ἐναργῶς σημαινούσης ἕκαστα.
very vividly signifying each-thing

στρεπτὴ γὰρ γλῶσσ᾽ ἐστὶ βροτῶν, πολέες δ᾽ ἔνι μῦθοι,
pliant for tongue is of-mortals many and in-it words

φησὶν Ὅμηρος αὐτός,
says Homer himself

παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
of-all-kinds of-words and wide pasture here and there

65 κινδυνεύει γὰρ οὖν τὸ ἀνθρώπινον γένος ἁπάντων ἐνδεὲς
risks for then the human race of-all lacking
γενέσθαι μᾶλλον ἢ φωνῆς καὶ λέξεως· τούτου δὲ
to-become rather than of-voice and speech of-this but
μόνου κέκτηται θαυμαστόν τινα πλοῦτον. οὐδὲν γοῦν
alone it-has-acquired marvelous some wealth nothing at-least
παραλέλοιπεν ἄφθεγκτον οὐδὲ ἄσημον τῶν πρὸς αἴσθησιν
it-has-left unuttered or unmarked of-the-things to perception
ἀφικνουμένων, ἀλλ᾽ εὐθὺς ἐπιβάλλει τῷ νοηθέντι σαφῆ
arriving but at-once it-puts on-the thing-conceived clear
σφραγῖδα ὀνόματος, πολλάκις δὲ καὶ πλείους φωνὰς ἑνὸς
seal of-name often and also several words of-one
πράγματος, ὧν ὁπόταν φθέγξηταί τινα, παρέσχε δόξαν οὐ
thing of-which whenever it-utters any it-produces opinion not
πολὺ ἀσθενεστέραν τἀληθοῦς. πλείστη μὲν οὖν ἐξουσία καὶ
much weaker than-the-truth most indeed then license and
δύναμις ἀνθρώπῳ περὶ λόγον ἐνδείξασθαι τὸ παραστάν.
power for-man about speech to-show the(-thing) occurring

Phidias goes on: Homer blended every dialect, revived old words, coined new ones, and imitated every sound, and so could show anything in turn, while the sculptor needs lasting material, many helpers, and long labor, and must fix one image in a single pose. He made a Zeus of peace, gentle and majestic, fitting every title of the god: king and father, god of the city, of kindred, of friendship, of suppliants, of refuge, of strangers, of property, and of harvests. The lightning of war and the scales of fate he could not carve and would not have wished to; thunder, and the nod that shakes Olympus, his art cannot show. No better material exists, and only Zeus fashions the whole world. Dio judges that the Greeks would crown Phidias, whose Zeus seems to tell Greece that she honors him well but neglects herself.

ἡ δὲ τῶν ποιητῶν τέχνη μάλα αὐθάδης καὶ ἀνεπίληπτος, 66
the but of-the poets art very self-willed and unassailable
ἄλλως τε Ὁμήρου, τοῦ πλείστην ἄγοντος παρρησίαν,
especially both of-Homer the most leading frankness
ὃς οὐχ ἕνα εἵλετο χαρακτῆρα λέξεως, ἀλλὰ πᾶσαν τὴν
who not one chose character of-diction but all the
Ἑλληνικὴν γλῶτταν διῃρημένην τέως ἀνέμιξε, Δωριέων
Greek tongue divided till-then mixed of-Dorians
τε καὶ Ἰώνων, ἔτι δὲ τὴν Ἀθηναίων, εἰς ταὐτὸ
both and of-Ionians still and the of-Athenians into the-same
κεράσας πολλῷ μᾶλλον ἢ τὰ χρώματα οἱ βαφεῖς, οὐ
blending much more than the colors the dyers not
μόνον τῶν καθ' αὑτόν, ἀλλὰ καὶ τῶν πρότερον, εἴ
only of-the(-ones) in his-time but also of-the earlier if
πού τι ῥῆμα ἐκλελοιπός, καὶ τοῦτο ἀναλαβὼν ὥσπερ
somewhere any word having-fallen-out also this having-taken-up like
νόμισμα ἀρχαῖον ἐκ θησαυροῦ ποθεν ἀδεσπότου διὰ
coin ancient from treasury from-somewhere ownerless through
φιλορρηματίαν, πολλὰ δὲ καὶ βαρβάρων ὀνόματα,
love-of-words many and also of-barbarians names

67 φειδόμενος οὐδενὸς ὅ τι μόνον ἡδονὴν ἢ σφοδρότητα
sparing nothing what ever only pleasure or vehemence
ἔδοξεν αὐτῷ ἔχειν· πρὸς δὲ τούτοις μεταφέρων οὐ τὰ
seemed to-him to-have besides and these transferring not the-things
γειτνιῶντα μόνον οὐδὲ ἀπὸ τῶν ἐγγύθεν, ἀλλὰ τὰ
neighboring only nor from the near but the-things
πλεῖστον ἀπέχοντα, ὅπως κηλήσῃ τὸν ἀκροατὴν μετ᾽
farthest being-distant so-that he-may-charm the listener with
ἐκπλήξεως καταγοητεύσας, καὶ οὐδὲ ταῦτα κατὰ χώραν
amazement having-bewitched-him and not-even these in place
ἐῶν, ἀλλὰ τὰ μὲν μηκύνων, τὰ δὲ συναιρῶν,
leaving but the(-ones) indeed lengthening the(-others) and contracting
τὰ δὲ ἄλλως παρατρέπων· τελευτῶν δὲ αὑτὸν
the(-others) and otherwise altering finally and himself
ἀπέφαινεν οὐ μόνον μέτρων ποιητήν,
he-showed not only of-meters maker
68 ἀλλὰ καὶ ῥημάτων, παρ᾽ αὑτοῦ φθεγγόμενος, τὰ μὲν
but also of-words from himself uttering the(-ones) indeed
ἁπλῶς τιθέμενος ὀνόματα τοῖς πράγμασι, τὰ δ᾽
simply setting names to-the things the(-others) and
ἐπὶ τοῖς κυρίοις ἐπονομάζων, οἷον σφραγῖδα σφραγῖδι
on the proper adding as seal on-seal
ἐπιβάλλων ἐναργῆ μᾶλλον καὶ εὔδηλον, οὐδενὸς φθόγγου
putting vivid more and clear from-no sound
ἀπεχόμενος, ἀλλὰ ἔμβραχυ ποταμῶν τε μιμούμενος φωνὰς
abstaining but in-short of-rivers both imitating sounds
καὶ ὕλης καὶ ἀνέμων καὶ πυρὸς καὶ θαλάττης, ἔτι
and of-wood and of-winds and of-fire and of-sea still
δὲ χαλκοῦ καὶ λίθου καὶ ξυμπάντων ἁπλῶς ζῴων καὶ
and of-bronze and of-stone and of-all simply animals and
ὀργάνων, τοῦτο μὲν θηρίων, τοῦτο δὲ ὀρνίθων,
instruments on-the-one-hand indeed of-beasts on-the-other and of-birds

τοῦτο δὲ αὐλῶν τε καὶ συρίγγων· καναχάς τε καὶ
on-the-other and of-flutes both and pipes clangings both and
βόμβους καὶ κτύπον καὶ δοῦπον καὶ ἄραβον πρῶτος
boomings and crash and thud and rattle first
ἐξευρὼν καὶ ὀνομάσας ποταμούς τε μορμύροντας καὶ βέλη
having-found and having-named rivers both murmuring and arrows
κλάζοντα καὶ βοῶντα κύματα καὶ χαλεπαίνοντας ἀνέμους
twanging and roaring waves and raging winds
καὶ ἄλλα τοιαῦτα δεινὰ καὶ ἄτοπα τῷ ὄντι θαύματα,
and other such terrible and strange in-the being marvels
πολλὴν ἐμβάλλοντα τῇ γνώμῃ ταραχὴν καὶ θόρυβον·
much casting-into the mind confusion and uproar
ὥστε οὐκ ἦν αὐτῷ ἀπορία φοβερῶν ὀνομάτων καὶ ἡδέων, 69
so-that not was to-him lack of-fearsome words and of-sweet
ἔτι δὲ λείων καὶ τραχέων καὶ μυρίας ἄλλας ἐχόντων
still and of-smooth and rough and countless other having
διαφορὰς ἔν τε τοῖς ἤχοις καὶ τοῖς διανοήμασιν. ὑφ᾽
differences in both the sounds and the meanings by
ἧς ἐποποιίας δυνατὸς ἦν ὁποῖον ἐβούλετο ἐμποιῆσαι
which epic-poetry able he-was whatever-sort he-wished to-produce
τῇ ψυχῇ πάθος. τὸ δὲ ἡμέτερον αὖ γένος, τὸ
in-the soul passion the but our in-turn race the
χειρωνακτικὸν καὶ δημιουργικόν, οὐδαμῇ ἐφικνεῖται τῆς
manual and craftsman's in-no-way reaches the
τοιαύτης ἐλευθερίας, ἀλλὰ πρῶτον μὲν ὕλης προσδεόμεθα,
such freedom but first indeed material we-need
ἀσφαλοῦς μὲν ὥστε διαμεῖναι, πολὺν δὲ ἐχούσης κάματον
firm indeed so-as to-endure much and having labor
πορισθῆναί τε οὐ ῥᾳδίας, ἔτι δὲ οὐκ ὀλίγων συνεργῶν.
to-be-procured both not easy still and not few fellow-workers

70 πρὸς δὲ αὖ τούτοις ἓν σχῆμα ἑκάστης εἰκόνος ἀνάγκη
besides and in-turn these one figure of-each image necessity
ἐργάσασθαι, καὶ τοῦτο ἀκίνητον καὶ μένον, ὥστε τὴν
to-work and this unmoving and abiding so-as the
πᾶσαν ἐν αὑτῷ τοῦ θεοῦ ξυλλαβεῖν φύσιν καὶ δύναμιν.
whole in itself of-the god to-comprise nature and power
τοῖς δὲ ποιηταῖς πολλάς τινας μορφὰς καὶ παντοδαπὰ
for-the but poets many some shapes and all-kinds
εἴδη περιλαβεῖν τῇ ποιήσει ῥᾴδιον, κινήσεις τε καὶ
forms to-encompass in-the poetry easy movements both and
ἡσυχίας προστιθέντας αὐτοῖς, ὅπως ἂν ἑκάστοτε πρέπειν
rests adding to-them as-ever — each-time to-be-fitting
ἡγῶνται, καὶ ἔργα καὶ λόγους, καὶ προσέτι οἶμαι τὸ
they-think and deeds and words and besides I-think the(-thing)
τῆς ἀπάτης καὶ τοῦ χρόνου. μιᾷ γὰρ ἐπινοίᾳ καὶ ὁρμῇ
of-the deceit and of-the time by-one for conception and impulse
τῆς ψυχῆς ἐνεχθεὶς ὁ ποιητὴς πολύ τι πλῆθος ἐπῶν
of-the soul carried the poet much some multitude of-verses
ἤρυσεν, ὥσπερ ἐκ πηγῆς ὕδατος ὑπερβλύσαντος, πρὶν
drew-up as from spring of-water having-gushed-over before
ἐπιλιπεῖν αὐτὸν καὶ διαρρυῆναι τὸ φάντασμα καὶ τὴν
to-fail him and to-flow-away the image and the
ἐπίνοιαν ἣν ἔλαβε. τὸ δέ γε ἡμέτερον τῆς τέχνης
conception which he-took the but at-least our of-the art
ἐπίπονον καὶ βραδύ, μόλις καὶ κατ᾽ ὀλίγον προβαῖνον,
laborious and slow hardly and by little advancing
ἅτε οἶμαι πετρώδει καὶ στερεᾷ κάμνον ὕλῃ.
as I-think on-stony and solid toiling material
71 τὸ δὲ πάντων χαλεπώτατον, ἀνάγκη παραμένειν τῷ
the but of-all hardest necessity to-remain for-the
δημιουργῷ τὴν εἰκόνα ἐν τῇ ψυχῇ τὴν αὐτὴν ἀεί, μέχρις
craftsman the image in the soul the same always until

ἂν ἐκτελέσῃ τὸ ἔργον, πολλάκις καὶ πολλοῖς ἔτεσι. καὶ
— he-completes the work often even many years and
δὴ τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα,
indeed the saying that are than-hearing more-trustworthy eyes
ἀληθὲς ἴσως· πολύ γε μὴν δυσπειστότερα καὶ πλείονος
true perhaps much at-least indeed harder-to-persuade and of-more
δεόμενα ἐναργείας. ἡ μὲν γὰρ ὄψις αὐτοῖς τοῖς ὁρωμένοις
needing vividness the indeed for sight with-the very things-seen
συμβάλλει, τὴν δὲ ἀκοὴν οὐκ ἀδύνατον ἀναπτερῶσαι
meets the but hearing not impossible to-excite
καὶ παραλογίσασθαι, μιμήματα εἰσπέμποντα γεγοητευμένα
and to-mislead imitations sending-in bewitched
μέτροις καὶ ἤχοις.
by-meters and sounds
καὶ μὴν τά γε ἡμέτερα τῆς τέχνης ἀναγκαῖα μέτρα 72
and indeed the at-least our of-the art necessary measures
πλήθους τε πέρι καὶ μεγέθους· τοῖς δὲ ποιηταῖς ἔξεστι
of-number both about and of-size for-the but poets it-is-possible
καὶ ταῦτα ἐφ᾽ ὁπόσονοῦν αὐξῆσαι. τοιγαροῦν Ὁμήρῳ μὲν
also these to how-much-ever to-increase therefore for-Homer indeed
ῥᾴδιον ἐγένετο εἰπεῖν τὸ μέγεθος τῆς Ἔριδος, ὅτι
easy it-was to-say the size — of-Strife that

οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει·
in-heaven she-fixed head and on earth walks

ἐμοὶ δὲ ἀγαπητὸν δήπουθεν πληρῶσαι τὸν ὑπὸ Ἠλείων ἢ
for-me but welcome surely to-fill the by Eleans or
Ἀθηναίων ἀποδειχθέντα τόπον.
Athenians assigned place

73 σὺ μὲν οὖν φήσεις, ὦ σοφώτατε τῶν ποιητῶν Ὅμηρε,
you indeed then will-say O wisest of-the poets Homer
πολὺ τῇ τε δυνάμει τῆς ποιήσεως καὶ τῷ χρόνῳ
much in-the both power of-the poetry and in-the time
προέχων, σχεδὸν πρῶτος ἐπιδεῖξαι τοῖς Ἕλλησι τῶν
excelling nearly first to-have-shown to-the Greeks of-the
τε ἄλλων ἁπάντων θεῶν καὶ δὴ τοῦ μεγίστου θεῶν
both other all gods and indeed of-the greatest of-gods
πολλὰς καὶ καλὰς εἰκόνας, τὰς μέν τινας ἡμέρους,
many and fine images the(-ones) indeed some gentle
τὰς δὲ φοβερὰς καὶ δεινάς.
the(-others) and fearsome and terrible

74 ὁ δὲ ἡμέτερος εἰρηνικὸς καὶ πανταχοῦ πρᾷος, οἷος
the but ours peaceful and everywhere mild such-as
ἀστασιάστου καὶ ὁμονοούσης τῆς Ἑλλάδος ἐπίσκοπος· ὃν
of-unrent-by-faction and of-like-minded — Greece overseer whom
ἐγὼ μετὰ τῆς ἐμαυτοῦ τέχνης καὶ τῆς Ἠλείων πόλεως
I with the my-own art and the of-Eleans city
σοφῆς καὶ ἀγαθῆς βουλευσάμενος ἱδρυσάμην, ἥμερον
wise and good having-taken-counsel set-up gentle
καὶ σεμνὸν ἐν ἀλύπῳ σχήματι, τὸν βίου καὶ ζωῆς καὶ
and august in painless figure the of-life and of-living and
ξυμπάντων δοτῆρα τῶν ἀγαθῶν, κοινὸν ἀνθρώπων καὶ
of-all giver of-the goods common of-men both
πατέρα καὶ σωτῆρα καὶ φύλακα, ὡς δυνατὸν ἦν θνητῷ
father and savior and guardian as possible it-was for-mortal
διανοηθέντι μιμήσασθαι τὴν θείαν καὶ ἀμήχανον φύσιν.
having-conceived to-imitate the divine and unspeakable nature

σκόπει δέ, εἰ μὴ πάσαις ταῖς ἐπωνυμίαις ταῖς τοῦ 75
consider and whether not to-all the titles the of-the
θεοῦ πρέπουσαν εὑρήσεις τὴν εἰκόνα· Ζεὺς γὰρ μόνος
god fitting you-will-find the image Zeus for alone
θεῶν πατὴρ καὶ βασιλεὺς ἐπονομάζεται, Πολιεύς τε καὶ
of-gods father and king is-called of-the-City both and
Ὁμόγνιος καὶ Φίλιος καὶ Ἑταιρεῖος, πρὸς δὲ τούτοις
of-Kindred and of-Friendship and of-Comradeship besides and these
Ἱκέσιός τε καὶ Φύξιος καὶ Ξένιος καὶ Κτήσιος καὶ
of-Suppliants both and of-Refuge and of-Strangers and of-Property and
Ἐπικάρπιος καὶ μυρίας ἄλλας ἐπικλήσεις πάσας ἀγαθάς,
of-Harvests and countless other titles all good
βασιλεὺς μὲν κατὰ τὴν ἀρχὴν καὶ δύναμιν ὠνομασμένος,
king indeed by the rule and power named
πατὴρ δὲ οἶμαι διά τε τὴν κηδεμονίαν καὶ τὸ πρᾷον,
father but I-think through both the care and the gentleness
Πολιεὺς δὲ κατὰ τὸν νόμον καὶ τὸ κοινὸν ὄφελος, Ὁμόγνιος
of-the-City and by the law and the common benefit of-Kindred
δὲ διὰ τὴν τοῦ γένους κοινωνίαν θεοῖς καὶ ἀνθρώποις,
and because-of the of-the race fellowship for-gods and men
Φίλιος δὲ καὶ Ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπους 76
of-Friendship and and of-Comradeship because all men
ξυνάγει καὶ βούλεται φίλους εἶναι ἀλλήλοις, ἐχθρὸν δὲ
he-brings-together and wishes friends to-be to-one-another enemy but
ἢ πολέμιον οὐδένα οὐδενός, Ἱκέσιος δέ, ὡς ἂν ἐπήκοός
or foe no-one of-anyone of-Suppliants and as — attentive
τε καὶ ἵλεως τοῖς δεομένοις, Φύξιος δὲ διὰ τὴν τῶν
both and gracious to-those asking of-Refuge and because-of the of-the
κακῶν ἀπόφυξιν, Ξένιος δέ, ὅτι δεῖ μηδὲ τῶν
evils escape of-Strangers and because it-is-needful not-even the
ξένων ἀμελεῖν μηδὲ ἀλλότριον ἡγεῖσθαι ἀνθρώπων μηδένα,
strangers to-neglect nor alien to-think of-men any

Κτήσιος δὲ καὶ Ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος καὶ
of-Property and and of-Harvests as of-the fruits cause and
δοτὴρ πλούτου καὶ δυνάμεως.
giver of-wealth and power

77 ὅτου δὲ ἦν ἐπιδεῖξαι ταῦτα μὴ φθεγγόμενον, ἆρα
of-which but it-was-possible to-show these-things not uttering then
οὐχ ἱκανῶς ἔχει κατὰ τὴν τέχνην; τὴν μὲν γὰρ ἀρχὴν
not sufficiently is-it according-to the art the indeed for rule
καὶ τὸν βασιλέα βούλεται δηλοῦν τὸ ἰσχυρὸν τοῦ εἴδους
and the king wishes to-show the strength of-the form
καὶ τὸ μεγαλοπρεπές· τὸν δὲ πατέρα καὶ τὴν κηδεμονίαν
and the magnificence the but father and the care
τὸ πρᾷον καὶ προσφιλές· τὸν δὲ Πολιέα καὶ νόμιμον ἥ
the gentleness and lovableness the but of-the-City and lawful the
τε σεμνότης καὶ τὸ αὐστηρόν· τὴν δὲ ἀνθρώπων καὶ θεῶν
both majesty and the severity the but of-men and gods
ξυγγένειαν αὐτό που τὸ τῆς μορφῆς ὅμοιον ἐν εἴδει
kinship itself I-suppose the of-the shape likeness in form
συμβόλου· τὸν δὲ Φίλιον καὶ Ἱκέσιον καὶ Ξένιον καὶ
of-symbol the but of-Friendship and of-Suppliants and of-Strangers and
Φύξιον καὶ πάντα τὰ τοιαῦτα ἁπλῶς ἡ φιλανθρωπία καὶ
of-Refuge and all the such simply the benevolence and
τὸ χρηστὸν ἐμφαινόμενα προσομοιοῖ· τὸν δὲ Κτήσιον καὶ
the kindness appearing represent the but of-Property and
τὸν Ἐπικάρπιον ἥ τε ἁπλότης καὶ ἡ μεγαλοφροσύνη,
the of-Harvests the both simplicity and the magnanimity
δηλουμένη διὰ τῆς μορφῆς· ἀτεχνῶς γὰρ διδόντι καὶ
shown through the shape simply for to-one-giving and
χαριζομένῳ μάλιστα προσέοικε τἀγαθά.
bestowing most it-resembles the-good-things

ταῦτα μὲν οὖν ὡς οἷόν τε ἦν ἐμιμησάμην, ἅτε οὐκ 78
these-things indeed then as possible — it-was I-imitated as not
ἔχων ὀνομάσαι. συνεχῶς δὲ ἀστράπτοντα ἐπὶ πολέμῳ
being-able to-name continually but lightning-flashing for war
καὶ φθορᾷ πλήθους ἢ ὄμβρων ὑπερβολὴν ἢ χαλάζης ἢ
and destruction of-multitude or of-rains excess or of-hail or
χιόνος, ἢ τανύοντα κυανῆν ἶριν, τοῦ πολέμου ξύμβολον, ἢ
of-snow or stretching dark rainbow of-the war symbol or
ἀστέρα πέμποντα ξυνεχεῖς σπινθῆρας ἀποβάλλοντα, δεινὸν
star sending continual sparks casting-off dread
τέρας ναύταις, ἢ ἐπιπέμποντα ἔριν ἀργαλέαν Ἕλλησι καὶ
portent to-sailors or sending-upon strife grievous on-Greeks and
βαρβάροις, ὥστε ἔρωτα ἐμβάλλειν πολέμου καὶ μάχης
barbarians so-as love to-cast-in of-war and battle
ἄπαυστον κάμνουσιν ἀνθρώποις καὶ ἀπειρηκόσιν· οὐδέ
unceasing on-weary men and exhausted nor
γε ἱστάντα ἐπὶ πλάστιγγος ἀνθρώπων ἡμιθέων κῆρας
at-least setting on scale of-men of-demigods fates
ἢ στρατοπέδων ὅλων, αὐτομάτῳ ῥοπῇ κρινομένας· οὐκ
or of-armies whole by-spontaneous inclination being-judged not
ἦν διὰ τῆς τέχνης μιμεῖσθαι· οὐ μὴν οὐδὲ παρὸν
it-was through the art to-imitate not indeed nor it-being-possible
ἠθέλησά γ᾽ ἄν ποτε.
would-I-have-wished at-least — ever
βροντῆς γὰρ εἴδωλον ἄφθογγον ἢ κεραυνοῦ εἴκασμα 79
of-thunder for image soundless or of-lightning likeness
ἀλαμπὲς ἐκ τῶν τῇδε ἐπιγείων μεταλλευμάτων ποῖον ἄν
lightless from the here earthly metals what-sort —
τι καὶ γένοιτο; ἔτι δὲ γῆν σειομένην καὶ κινούμενον
any also would-come-about still and earth shaken and moved
Ὄλυμπον ὑπὸ νεύματι βραχεῖ τῶν ὀφρύων ἤ τινα νέφους
Olympus under nod short of-the brows or some of-cloud

περὶ τῇ κεφαλῇ στέφανον Ὁμήρῳ μὲν εἰπεῖν εὐμαρὲς
about the head crown for-Homer indeed to-say easy
καὶ πολλὴ πρὸς τὰ τοιαῦτα ἅπαντα ἐλευθερία, τῇ δέ
and much toward the such all freedom for-the but
γε ἡμετέρᾳ τέχνῃ παντελῶς ἄπορον, ἐγγύθεν ἐχούσῃ
at-least our art altogether impossible from-near having
καὶ σαφῆ τὸν ἔλεγχον τῆς ὄψεως.
and clear the test of-the sight

80 εἰ δ' αὖ τὸ τῆς ὕλης ἀσημότερον ἡγεῖταί τις ἢ
if but in-turn the of-the material meaner thinks anyone than
κατὰ τὴν ἀξίαν τοῦ θεοῦ, τοῦτο μὲν ἀληθές τε καὶ
according-to the worth of-the god this indeed true both and
ὀρθόν· ἀλλ' οὔτε τοὺς δόντας οὔτε τὸν ἑλόμενον καὶ
right but neither those having-given nor the(-one) having-chosen and
δοκιμάσαντα ἐν δίκῃ μέμφοιτ' ἄν. οὐ γὰρ ἦν ἑτέρα φύσις
having-approved in justice would-blame — not for was other nature
ἀμείνων οὐδὲ λαμπροτέρα πρὸς ὄψιν, ἣν δυνατὸν εἰς
better nor more-brilliant to sight which possible into
χεῖρας ἀνθρώπων ἀφικέσθαι καὶ μεταλαβεῖν δημιουργίας.
hands of-men to-come and to-partake of-craftsmanship

81 ἀέρα γὰρ ἢ πῦρ ἐργάσασθαι καὶ τὴν ἄφθονον πηγὴν
air for or fire to-work and the abundant source
ὕδατος ὅσον τε ἐν ἅπασι τούτοις στερεὸν ἕρμα· λέγω
of-water as-much-as both in all these solid foundation I-mean
δὲ οὐ χρυσοῦ καὶ λίθου, ταῦτα μὲν γὰρ σμικρὰ καὶ
but not of-gold and stone these-things indeed for small and
φαῦλα, ἀλλὰ τὴν πᾶσαν ἰσχυρὰν καὶ βαρεῖαν οὐσίαν·
paltry but the whole strong and heavy substance
ἰδίᾳ τε ἕκαστον διακρίνοντα καὶ συμπλέκοντα εἰς γένεσιν
separately both each distinguishing and combining for generation

ζῴων καὶ φυτῶν, οὐδὲ θεοῖς πᾶσι δυνατὸν ἢ μόνῳ
of-animals and plants not-even for-gods all possible but for-only
τούτῳ σχεδὸν ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος,
this-one nearly whom very finely poet addressed another

Δωδωναῖε μεγασθενὲς ἀριστοτέχνα πάτερ.
of-Dodona mighty best-craftsman father

οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργός, χορηγὸν 82
this-one for indeed first and most-perfect craftsman as-patron
λαβὼν τῆς αὑτοῦ τέχνης οὐ τὴν Ἠλείων πόλιν, ἀλλὰ
having-taken of-the his-own art not the of-Eleans city but
τὴν πᾶσαν τοῦ παντὸς ὕλην. Φειδίαν δὲ ἢ Πολύκλειτον
the whole of-the universe material Phidias but or Polyclitus
οὐκ ἂν εἰκότως ἀπαιτοῖτε πλέον οὐδέν, ἀλλὰ καὶ
not — reasonably you-would-demand more anything but even
ταῦτα μείζω καὶ σεμνότερα τῆς ἡμετέρας χειρωναξίας.
these-things greater and more-august than-the our handicraft
οὐδὲ γὰρ τὸν Ἥφαιστον Ὅμηρος ἐν ἄλλοις πεποίηκεν 83
nor for — Hephaestus Homer in other-things has-made
ἐπιδεικνύμενον τὴν ἐμπειρίαν, ἀλλὰ τεχνίτην μὲν θεὸν
showing the skill but artisan indeed god
εὐπόρησεν ἐπὶ τὸ τῆς ἀσπίδος ἔργον, ὕλην δὲ ἑτέραν
he-had-at-hand for the of-the shield work material but other
οὐκ ἐφίκετο εὑρεῖν. φησὶ γὰρ οὕτω·
not he-managed to-find he-says for thus

χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε
bronze and into fire he-cast unwearying tin both
καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον.
and gold precious and silver

ἀνθρώπων μὲν οὖν ἔγωγε οὐδενὶ παραχωρήσαιμ' ἂν
of-men indeed then I-at-least to-none would-concede —
κρείττονα ἐμοῦ ποτε γενέσθαι περὶ τὴν τέχνην, αὐτῷ
better than-me ever to-become about the art to-very
δὲ τῷ Διί, δημιουργοῦντι τὸν ἅπαντα κόσμον οὐ χρὴ
but — Zeus fashioning the whole cosmos not it-is-needful
ξυμβάλλειν οὐδένα θνητόν.
to-compare any mortal

84 ταῦτ' οὖν εἰπόντα καὶ ἀπολογησάμενον τὸν Φειδίαν
these-things then having-said and having-made-his-defense — Phidias
εἰκότως ἐμοὶ δοκοῦσιν οἱ Ἕλληνες στεφανῶσαι ἄν.
fittingly to-me seem the Greeks to-crown-him —

85 τῷ γὰρ ὄντι τοιοῦτος ἡμῖν προσορᾶν ἔοικε, πάνυ
in-the for being such to-us to-look-on he-seems very
εὔνους καὶ κηδόμενος, ὥστ' ἔμοιγε μικροῦ φθέγγεσθαι
kindly and caring so-that to-me almost to-speak
δοκεῖ 'τάδε μὲν οὕτως, ὦ σύμπασα Ἑλλάς, καλῶς
he-seems these-things indeed so O whole Greece finely
καὶ προσηκόντως ἐπιτελεῖς, θυσίας τε θύουσα ἐκ τῶν
and fittingly you-perform sacrifices both sacrificing from the
παρόντων μεγαλοπρεπεῖς καὶ δὴ καὶ τὸν εὐκλεέστατον
present-means magnificent and indeed also the most-glorious
ἀγῶνα τιθεῖσα ὡς ἀπ' ἀρχῆς εὐεξίας καὶ ῥώμης καὶ
contest holding as from beginning of-fitness and strength and

τάχους, ὅσα τε ἑορτῶν καὶ μυστηρίων ἔθη λαβοῦσα
speed as-many-as both of-feasts and mysteries customs having-received
διαφυλάττεις. ἀλλὰ ἐκεῖνο φροντίζων σκοπῶ, ὅτι
you-preserve but that taking-thought I-consider that

αὐτήν σ᾽ οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ᾽ ἅμα γῆρας
yourself you not good care holds but at-once old-age
λυγρὸν ἔχεις αὐχμεῖς τε κακῶς καὶ ἀεικέα ἕσσαι.᾽
grievous you-have you-are-squalid both badly and unseemly-things you-are-clothed

ON HIS EXILE, IN ATHENS

I · EXILE AND THE ORACLE

Exiled for his friendship with a man put to death, Dio asks whether exile is truly hard. He recalls Odysseus weeping for his homeland and a tragedian's Electra pitying her exiled brother, but also Apollo's advice to Croesus to flee. He consults the oracle, which tells him to go on with what he is doing to the ends of the earth. So he wanders in humble dress, is called a beggar, a vagabond, and a philosopher, and begins to speak to those who ask. He repeats an old speech of Socrates: men seek money but neglect the education that would teach them to use it; lyre-playing, wrestling, and letters do not make good citizens.

1 Ὅτε φεύγειν συνέβη με φιλίας ἕνεκεν λεγομένης ἀνδρὸς
when to-be-exiled it-happened me of-friendship for-the-sake so-called with-man
οὐ πονηροῦ, τῶν δὲ τότε εὐδαιμόνων τε καὶ ἀρχόντων
not wicked of-the but then prosperous both and rulers
ἐγγύτατα ὄντος, διὰ ταῦτα δὲ καὶ ἀποθανόντος, δι᾽
nearest being because-of these-things and also having-died through
ἃ πολλοῖς καὶ σχεδὸν πᾶσιν ἐδόκει μακάριος, διὰ
which-things to-many and nearly to-all he-seemed blessed because-of
τὴν ἐκείνων οἰκειότητα καὶ ξυγγένειαν, ταύτης ἐνεχθείσης ἐπ᾽
the their kinship and relationship this being-brought upon
ἐμὲ τῆς αἰτίας, ὡς δὴ τἀνδρὶ φίλον ὄντα καὶ σύμβουλον·
me the charge as indeed to-the-man friend being and adviser
ἔθος γάρ τι τοῦτό ἐστι τῶν τυράννων, ὥσπερ ἐν
custom for some this is of-the tyrants as among
Σκύθαις τοῖς βασιλεῦσι συνθάπτειν οἰνοχόους καὶ μαγείρους
Scythians the kings to-bury-with cupbearers and cooks
καὶ παλλακάς, οὕτως τοῖς ὑπ᾽ αὐτῶν ἀποθνήσκουσιν
and concubines so to-those by them dying
ἑτέρους προστιθέναι πλείους ἀπ᾽ οὐδεμιᾶς αἰτίας·
others to-add more from no cause

τότε δ᾽ οὖν, ἐπεί με φεύγειν ἔδοξεν, ἐσκόπουν πότερον 2
then and anyway when me to-be-exiled it-was-decided I-considered whether
ὄντως χαλεπόν τι καὶ δυστυχὲς εἴη τὸ τῆς φυγῆς
really hard something and unfortunate might-be the of-the exile
κατὰ τὴν τῶν πολλῶν δόξαν, ἢ πάντα τὰ τοιαῦτα
according-to the of-the many opinion or all the such-things
ἕτερον πέπονθεν, ὁποῖον λεγόμενόν ἐστι περὶ τὴν μαντείαν
otherwise has-been-affected of-the-sort said is about the divination
τὴν τῶν γυναικῶν ἐν τοῖς ἱεροῖς. ἐκεῖναι γὰρ βῶλόν
the of-the women in the shrines they for clod
τινα ἢ λίθον αἴρουσαι σκοποῦσιν ἐν τούτῳ περὶ τοῦ
some or stone lifting consider in this about the
πράγματος οὗ πυνθάνονται. καὶ δὴ ταῖς μὲν αὐτῶν
matter which they-inquire and indeed to-the(-ones) indeed of-them
φασι γίγνεσθαι κοῦφον, ταῖς δὲ βαρύν, ὡς μηδὲ
they-say to-become light to-the(-others) and heavy so-that not-even
κινῆσαι δύνασθαι ῥᾳδίως.
to-move to-be-able easily
μὴ ἄρα καὶ τὸ φεύγειν καὶ τὸ πένεσθαι καὶ γῆρας δὴ 3
lest then also the to-be-exiled and the to-be-poor and old-age indeed
καὶ νόσος καὶ πάντα τὰ τοιαῦτα τοῖς μὲν βαρέα
and disease and all the such-things to-the(-ones) indeed heavy
φαίνεται καὶ χαλεπά, τοῖς δ᾽ ἐλαφρά τε καὶ εὔκολα·
appear and hard to-the(-others) and light both and easy
ἐκεῖ μὲν ἴσως κατὰ τὴν τοῦ πράγματος διαφορὰν
there indeed perhaps according-to the of-the matter difference
ἐλαφρύνοντος τοῦ δαιμονίου τὸ βάρος, ἐνταῦθα δὲ οἶμαι
lightening the divine the weight here but I-think
πρὸς τὴν τοῦ χρωμένου δύναμιν καὶ γνώμην.
according-to the of-the (-one)-using power and judgment

4 καὶ δὴ ἀνεμιμνησκόμην Ὀδυσσέως τε παρ᾽ Ὁμήρῳ
and indeed I-recalled Odysseus both in Homer
κατοδυρομένου πολλάκις αὑτόν, ἀνδρὸς ἥρωος οὐδαμῶς τε
lamenting often himself man hero in-no-way both
ἀδυνάτου καρτερεῖν, πολλὰ ὅμως ἀνάξια λέγοντος καὶ
unable to-endure many nevertheless unworthy-things saying and
θρηνοῦντος ἑκάστοτε παρὰ τῇ θαλάττῃ διὰ πόθον τῆς
wailing each-time beside the sea through longing of-the
πατρίδος· τέλος δέ, ὥς φησιν ὁ ποιητής, ἐπεθύμει καπνὸν
fatherland finally and as says the poet he-desired smoke
ἰδεῖν ἀπὸ τῆς αὑτοῦ γῆς ἀνιόντα, εἰ καὶ δέοι
to-see from the his-own land rising if even it-should-be-needful
παραχρῆμα ἀποθνήσκειν, καὶ οὔτε τὰ πρότερον ἔργα
immediately to-die and neither the earlier deeds
παρεμυθεῖτο αὐτὸν οὔτε θεὸς μάλα καλὴ καὶ ἀγαθὴ
consoled him nor goddess very beautiful and good
περὶ πολλοῦ ποιουμένη, ὥστε ὑποσχέσθαι ποιήσειν
of much valuing(-him) so-as to-promise to-be-going-to-make
αὐτὸν ἀθάνατον, ἀλλὰ πάντων τούτων κατίσχυεν ὁ τῆς
him immortal but all these-things overpowered the of-the
πατρίδος πόθος τε καὶ ἔρως·
fatherland longing both and love
5 πάλιν δ᾽ αὖ παρ᾽ ἑτέρῳ ποιητῇ τῶν ὕστερον τὴν
again and in-turn in another poet of-the later —
Ἠλέκτραν πυνθανομένην ὑπὲρ τοῦ ἀδελφοῦ λυπηρῶς καὶ
Electra inquiring about the brother painfully and
ἐλεοῦσαν αὐτὸν τῆς φυγῆς, οὕτω πως ἐρωτῶσαν· ποῦ
pitying him for-the exile so somehow asking where
γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχει; καὶ τὸν οὐχ
on-earth the wretched wretched wanderings has and him no
ἧττον ἐλεεινῶς ἀποκρινόμενον, οὐχ ἕνα νομίζων φθείρεται
less piteously answering not one keeping wastes-away

πόλεως τόπον· τὴν δὲ αὖθις ἐρωτῶσαν, ἦπου σπανίζει
of-city place her and again asking surely does-be-lack
τοῦ καθ᾽ ἡμέραν βίου; κἀκεῖνον οὕτως λέγοντα· ἔχει
the by day livelihood and-him so saying he-has
μέν, ἀσθενῆ δέ, ἅτε φεύγων ἀνήρ,
indeed weak but as exile man
πρὸς δὲ τούτοις μυρία δὴ τολμηθέντα τολμήματα 6
besides and these countless indeed dared daring-deeds
καὶ πολέμους πολεμηθέντας ὑπὸ φυγάδων, ὅπως οἴκαδε
and wars warred by exiles so-that home
κατέλθοιεν, πρός τε τοὺς δήμους καὶ τοὺς τυράννους
they-might-return against both the democracies and the tyrants
τοὺς ἐξελάσαντας παρὰ δύναμιν, μέγα νομιζόντων,
those having-driven-them-out beyond power great thinking-it
εἰ καὶ δέοι τελευτᾶν μαχομένους ἐν τῇ αὑτῶν
if even it-should-be-needful to-die fighting in the their-own
γῇ· σύμπαντα ταῦτά με ἐξέπληττε καὶ ἠνάγκαζε δεινὸν
land all these-things me struck and compelled terrible
ἡγεῖσθαι καὶ βαρὺ τὸ συμβεβηκός. ἐπεὶ δὲ ἐνεθυμήθην ὅτι
to-think and heavy the having-happened when but I-considered that
Κροίσῳ τῷ Λυδῶν βασιλεῖ συνεβούλευσεν ὁ Ἀπόλλων
to-Croesus the of-Lydians king advised — Apollo
συμβάντος τινὸς φεύγειν ἑκόντα καταλιπόντα τὴν ἀρχήν,
having-happened something to-flee willingly having-left the rule
καὶ μηδὲν αἰσχύνεσθαι τούτου ἕνεκεν, εἰ δόξει κακὸς
and in-nothing to-be-ashamed of-this for-the-sake if he-will-seem bad
εἶναι τοῖς ἀνθρώποις, οὕτω πως θεσπίσας·
to-be to-the men so somehow having-prophesied

7 ἀλλ᾽ ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
but when mule king for-Medes becomes
καὶ τότε, Λυδὲ ποδαβρέ, πολυψήφιδα παρ᾽ Ἕρμον
also then Lydian delicate-footed pebbly beside Hermus
φεύγειν μηδὲ μένειν μηδ᾽ αἰδεῖσθαι κακὸς εἶναι,
to-flee nor to-stay nor to-be-ashamed bad to-be

δῆλον ὅτι τὴν αἰδῶ νῦν ἀντὶ τῆς αἰσχύνης ὀνομάζων,
clear that the shame now instead-of the disgrace naming
ὥσπερ ἔθος ἐστὶ τοῖς ποιηταῖς, καὶ τὸ κακὸν εἶναι ἀντὶ
as custom is for-the poets and the bad to-be instead-of
τῆς δόξης τῆς παρὰ τοῖς πολλοῖς·
the reputation the among the many
8 ἐκ δὲ τούτου ἐνεθυμούμην ὅτι οὐ πάντως ἡ φυγὴ βλαβερὸν
from and this I-considered that not altogether the exile harmful
οὐδὲ ἀσύμφορον οὐδὲ τὸ μένειν ἀγαθὸν καὶ πολλοῦ ἄξιον
nor disadvantageous nor the to-stay good and of-much worth
(οὐ γὰρ ἂν τὸ μὲν αὐτῶν παρῄνει καὶ συνεβούλευεν ὁ
not for — the(-one) indeed of-them he-would-urge and advised —
Ἀπόλλων, τὸ φεύγειν, τὸ δὲ μένειν ἄντικρυς ἀπηγόρευε,
Apollo the to-flee the(-other) and to-stay outright forbade
καὶ ταῦτα ἀνδρὶ θεσπίζων, ὃς ἦν ἐπιμελέστατος περὶ
and these-things to-man prophesying who was most-careful about
τὸ θεῖον καὶ θυσίας τε πλείστας ἔθυε καὶ μέγιστα
the divine and sacrifices both most sacrificed and greatest
ἀναθήματα πεπόμφει τῶν πώποτε ἀναθέντων εἰς Δελφοὺς)
dedications had-sent of-those ever having-dedicated to Delphi
9 ταῦτα ἐνθυμουμένῳ μοι ἔδοξε καὶ αὐτὸν εἰς θεοῦ
these-things considering to-me it-seemed-good also myself to of-god
βαδίσαντα χρήσασθαι συμβούλῳ κατὰ τὸ παλαιὸν ἔθος
having-gone to-use as-counselor according-to the old custom

τῶν Ἑλλήνων. οὐ γὰρ περὶ νόσου μὲν καὶ ἀπαιδίας, καὶ
of-the Greeks not for about disease indeed and childlessness and
περὶ καρπῶν ἱκανῶς συμβουλεύειν αὐτόν, περὶ δὲ τοιούτου
about crops sufficiently to-advise him about but such
πράγματος ἧττον δυνήσεσθαι. καὶ δὴ χρωμένῳ μοι
matter less to-be-going-to-be-able and indeed consulting to-me
ἀνεῖλεν ἄτοπόν τινα χρησμὸν καὶ οὐ ῥᾴδιον συμβαλεῖν.
he-gave strange some oracle and not easy to-interpret
ἐκέλευε γάρ με αὐτὸ τοῦτο πράττειν ἐν ᾧ εἰμι πάσῃ
he-bade for me itself this to-do in which I-am with-all
προθυμίᾳ, ὡς καλήν τινα καὶ συμφέρουσαν πρᾶξιν, ἕως
eagerness as fine some and beneficial action until
ἄν, ἔφη, ἐπὶ τὸ ἔσχατον ἀπέλθῃς τῆς γῆς. καίτοι χαλεπὸν
— he-said to the farthest you-go-away of-the earth and-yet hard
καὶ κατ᾽ ἄνθρωπον ψεύδεσθαι, μὴ ὅτι κατὰ θεόν.
even according-to man to-lie not that according-to god
ἐλογισάμην οὖν ὅτι ὁ μὲν Ὀδυσσεὺς μετὰ τοσούτους 10
I-reckoned then that — indeed Odysseus after so-many
πλάνους οὐκ ὤκνησεν ἀλᾶσθαι πάλιν κώπην φέρων,
wanderings not hesitated to-wander again oar carrying
Τειρεσίου συμβουλεύσαντος, ἀνδρὸς τεθνηκότος, μέχρι ἂν
Tiresias having-advised man having-died until —
ἀνθρώποις συμβάλῃ μηδὲ ἀκοῇ γιγνώσκουσι θάλατταν·
men he-meets not-even by-hearsay knowing sea
ἐμοὶ δὲ οὐ ποιητέον τοῦτο τοῦ θεοῦ κελεύοντος; οὕτω δὴ
for-me but not one-must-do this the god bidding so indeed
παρακελευσάμενος ἐμαυτῷ μήτε δεδιέναι μήτε αἰσχύνεσθαι
having-exhorted myself neither to-fear nor to-be-ashamed-of
τὸ πρᾶγμα, στολήν τε ταπεινὴν ἀναλαβὼν καὶ τἄλλα
the thing garb both humble having-taken-up and the-rest
κολάσας ἐμαυτὸν ἠλώμην πανταχοῦ.
having-disciplined myself I-wandered everywhere

11 οἱ δὲ ἐντυγχάνοντες ἄνθρωποι ὁρῶντες οἱ μὲν
the and meeting-me men seeing the(-ones) indeed
ἀλήτην, οἱ δὲ πτωχὸν ἐκάλουν, οἱ δέ τινες καὶ
wanderer the(-others) and beggar called the(-others) and some also
φιλόσοφον. ἐντεῦθεν ἐμοὶ συνέβη κατ᾽ ὀλίγον τε καὶ οὐ
philosopher thence to-me it-happened by little both and not
βουλευσάμενον αὐτὸν οὐδὲ ἐφ᾽ ἑαυτῷ μέγα φρονήσαντα
having-planned myself nor on myself greatly having-prided
τούτου τοῦ ὀνόματος τυχεῖν. οἱ μὲν γὰρ πολλοὶ τῶν
of-this the name to-obtain the indeed for many of-the
καλουμένων φιλοσόφων αὐτοὺς ἀνακηρύττουσιν, ὥσπερ οἱ
so-called philosophers themselves proclaim like the
Ὀλυμπίασι κήρυκες· ἐγὼ δὲ τῶν ἄλλων λεγόντων οὐκ
at-Olympia heralds I but the others saying not
ἐδυνάμην ἀεὶ καὶ πᾶσι διαμάχεσθαι.
could always and with-all to-fight-it-out

12 τυχὸν δέ τι καὶ ἀπολαῦσαι τῆς φήμης συνέβη μοι.
perhaps and something also to-profit of-the repute happened to-me
πολλοὶ γὰρ ἠρώτων προσιόντες ὅ τι μοι φαίνοιτο ἀγαθὸν
many for asked coming-up what ever to-me appeared good
ἢ κακόν· ὥστε ἠναγκαζόμην φροντίζειν ὑπὲρ τούτων, ἵνα
or bad so-that I-was-compelled to-think about these-things so-that
ἔχοιμι ἀποκρίνεσθαι τοῖς ἐρωτῶσιν. πάλιν δὲ ἐκέλευον
I-might-be-able to-answer to-those asking again and they-bade
λέγειν καταστάντα εἰς τὸ κοινόν. οὐκοῦν καὶ τοῦτο ἀναγκαῖον
to-speak having-stood-up into the public therefore also this necessary
ἐγίγνετο λέγειν περὶ τῶν προσηκόντων τοῖς ἀνθρώποις
became to-speak about the-things fitting for-the men
καὶ ἀφ᾽ ὧν ἔμελλον ὀνίνασθαι τὰ ἐμοὶ φαινόμενα.
and from which they-were-going to-profit the-things to-me appearing

ἐδόκουν δέ μοι πάντες ἄφρονες, ὡς ἔπος εἰπεῖν, καὶ 13
they-seemed and to-me all senseless as word to-say and
οὐδεὶς οὐδὲν ὧν ἔδει πράττειν οὐδὲ σκοπεῖν ὅπως
no-one anything of-what it-was-needful to-do nor to-consider how
ἀπαλλαγεὶς τῶν παρόντων κακῶν καὶ τῆς πολλῆς
having-been-freed from-the present evils and the much
ἀμαθίας καὶ ταραχῆς ἐπιεικέστερον καὶ ἄμεινον βιώσεται,
ignorance and confusion more-decently and better he-will-live
κυκώμενοι δὲ καὶ φερόμενοι πάντες ἐν ταὐτῷ καὶ περὶ τὰ
being-stirred-up and also being-carried all in the-same and about the
αὐτὰ σχεδόν, περί τε χρήματα καὶ δόξας καὶ σωμάτων
same-things nearly about both money and reputations and of-bodies
τινὰς ἡδονάς, οὐδεὶς ἀπαλλαγῆναι τούτων δυνάμενος οὐδὲ
some pleasures no-one to-be-freed from-these being-able nor
ἐλευθερῶσαι τὴν αὑτοῦ ψυχήν· καθάπερ οἶμαι τὰ
to-free the his-own soul as I-think the-things
ἐμπεσόντα εἰς τὰς δίνας εἱλούμενα καὶ περιστρεφόμενα
having-fallen into the whirlpools rolled and spun-around
καὶ οὐχ οἷά τε ἀπαλλαγῆναι τῆς δινήσεως.
and not able — to-be-freed from-the whirling
ταῦτα καὶ τὰ τοιαῦτα τούς τε ἄλλους ἅπαντας καὶ 14
these-things and the such-things the both others all and
μάλιστα καὶ πρῶτον ἐμαυτὸν καταμεμφόμενος ἐνίοτε ὑπὸ
most and first myself blaming sometimes through
ἀπορίας ἀνῆγον ἐπί τινα λόγον ἀρχαῖον, λεγόμενον ὑπό
perplexity I-led-back to some speech old spoken by
τινος Σωκράτους, ὃν οὐδέποτε ἐκεῖνος ἐπαύσατο λέγων,
some Socrates which never he stopped saying
πανταχοῦ τε καὶ πρὸς ἅπαντας βοῶν καὶ διατεινόμενος ἐν
everywhere both and to all shouting and straining in

ταῖς παλαίστραις καὶ ἐν τῷ Λυκείῳ καὶ ἐπὶ τῶν ἐργαστηρίων
the wrestling-schools and in the Lyceum and at the workshops
καὶ κατ᾽ ἀγοράν, ὥσπερ ἀπὸ μηχανῆς θεός, ὡς ἔφη τις.
and in market-place as from machine god as said someone
15 οὐ μέντοι προσεποιούμην ἐμὸν εἶναι τὸν λόγον,
not however I-pretended mine to-be the speech
ἀλλ᾽ οὗπερ ἦν, καὶ ἠξίουν, ἂν ἄρα μὴ δύνωμαι
but of-whom-indeed it-was and I-asked if then not I-can
ἀπομνημονεῦσαι ἀκριβῶς ἁπάντων τῶν ῥημάτων μηδὲ ὅλης
to-recall precisely all the words nor whole
τῆς διανοίας, ἀλλὰ πλέον ἢ ἔλαττον εἴπω τι, συγγνώμην
the thought but more or less I-say something pardon
ἔχειν, μηδὲ ὅτι ταῦτα λέγω ἃ τυγχάνει πολλοῖς ἔτεσι
to-have nor because these-things I-say which happen many years
πρότερον εἰρημένα, διὰ τοῦτο ἧττον προσέχειν τὸν
before spoken because-of this less to-pay the
νοῦν. ἴσως γὰρ ἄν, ἔφην, οὕτως μάλιστα ὠφεληθείητε.
mind perhaps for — I-said so most you-would-be-benefited
οὐ γὰρ δή γε εἰκός ἐστι τοὺς παλαιοὺς λόγους ὥσπερ
not for indeed at-least likely it-is the old words like
φάρμακα διαπνεύσαντας ἀπολωλεκέναι τὴν δύναμιν.
drugs having-evaporated to-have-lost the power
16 ἐκεῖνος γὰρ ὁπότ᾽ ἴδοι πλείονας ἀνθρώπους ἐν τῷ
he for whenever he-saw many men in the
αὐτῷ, σχετλιάζων καὶ ἐπιτιμῶν ἐβόα πάνυ ἀνδρείως
same-place complaining and rebuking shouted very bravely
τε καὶ ἀνυποστόλως, Ποῖ φέρεσθε, ὦνθρωποι, καὶ
both and unreservedly where are-you-carried O-men and
ἀγνοεῖτε μηδὲν τῶν δεόντων πράττοντες, χρημάτων μὲν
you-are-unaware nothing of-the needful doing of-money indeed
ἐπιμελούμενοι καὶ πορίζοντες πάντα τρόπον, ὅπως αὐτοί
taking-care and providing every way so-that yourselves

τε ἄφθονα ἕξετε καὶ τοῖς παισὶν ἔτι πλείω παραδώσετε,
both abundant you-will-have and to-the children still more will-hand-down
αὐτῶν δὲ τῶν παίδων καὶ πρότερον ὑμῶν τῶν πατέρων
very but the children and before you the fathers
ἠμελήκατε ὁμοίως ἅπαντες, οὐδεμίαν εὑρόντες οὔτε
have-neglected alike all no having-found either
παίδευσιν οὔτε ἄσκησιν ἱκανὴν οὐδὲ ὠφέλιμον ἀνθρώποις,
education or training sufficient or useful for-men
ἣν παιδευθέντες δυνήσεσθε τοῖς χρήμασι χρῆσθαι ὀρθῶς
which having-been-educated you-will-be-able the money to-use rightly
καὶ δικαίως, ἀλλὰ μὴ βλαβερῶς καὶ ἀδίκως, καὶ ὑμῖν
and justly but not harmfully and unjustly and for-you
αὐτοῖς, ὃ σπουδαιότερον τῶν χρημάτων, καὶ υἱοῖς καὶ
yourselves which more-important than-the money and sons and
θυγατράσι καὶ γυναιξὶ καὶ ἀδελφοῖς καὶ φίλοις, κἀκεῖνοι ὑμῖν.
daughters and wives and brothers and friends and-they to-you
ἀλλ᾽ ἦ κιθαρίζειν καὶ παλαίειν καὶ γράμματα μανθάνοντες 17
but truly to-play-the-lyre and to-wrestle and letters learning
ὑπὸ τῶν γονέων καὶ τοὺς υἱοὺς διδάσκοντες οἴεσθε
from the parents and the sons teaching do-you-think
σωφρονέστερον καὶ ἄμεινον οἰκήσειν τὴν πόλιν; καίτοι
more-temperately and better to-be-going-to-govern the city and-yet
εἴ τις συναγαγὼν τούς τε κιθαριστὰς καὶ τοὺς παιδοτρίβας
if anyone having-gathered the both lyre-players and the trainers
καὶ τοὺς γραμματιστὰς τοὺς ἄριστα ἐπισταμένους ἕκαστα
and the schoolmasters those best knowing each
τούτων πόλιν κατοικίσειεν ἐξ αὐτῶν ἢ καὶ ἔθνος, καθάπερ
of-these city should-found from them or even nation as
ὑμεῖς ποτε τὴν Ἰωνίαν, ποία τις ἂν ὑμῖν δοκεῖ γενέσθαι
you once — Ionia what-sort some — to-you seems to-become
πόλις καὶ τίνα οἰκεῖσθαι τρόπον; οὐ πολὺ κάκιον καὶ
city and in-what to-be-governed way not much worse and

αἴσχιον τῆς ἐν Αἰγύπτῳ καπήλων πόλεως, ὅπου πάντες
more-shameful than-the in Egypt of-hucksters city where all
κάπηλοι κατοικοῦσιν, ὁμοίως μὲν ἄνδρες, ὁμοίως δὲ
hucksters dwell alike indeed men alike and
γυναῖκες; οὐ πολὺ γελοιότερον οἰκήσουσιν οὗτοι, οὓς λέγω
women not much more-ridiculously will-govern these whom I-mean
τοὺς τῶν ὑμετέρων παίδων διδασκάλους, οἱ παιδοτρίβαι
the of-the your children teachers the trainers
καὶ κιθαρισταὶ καὶ γραμματισταί, προσλαβόντες τούς
and lyre-players and schoolmasters having-taken-in-addition the
τε ῥαψῳδοὺς καὶ τοὺς ὑποκριτάς.
both rhapsodes and the actors

18 καὶ γὰρ δὴ ὅσα μανθάνουσιν οἱ ἄνθρωποι,
and for indeed as-many-things-as learn the men
τούτου ἕνεκα μανθάνουσιν ὅπως, ἐπειδὰν ἡ χρεία ἐνστῇ
of-this for-the-sake they-learn so-that when the need arises
πρὸς ἣν ἐμάνθανεν ἕκαστος, ποιῇ τὸ κατὰ τὴν
for which learned each he-may-do the-thing according-to the
τέχνην, οἷον ὁ μὲν κυβερνήτης ὅταν εἰς τὴν ναῦν ἐμβῇ,
art as the indeed pilot when into the ship he-embarks
τῷ πηδαλίῳ κατευθύνων· διὰ τοῦτο γὰρ ἐμάνθανε
with-the rudder steering because-of this for he-learned
κυβερνᾶν· ὁ δὲ ἰατρὸς ἐπειδὰν παραλάβῃ τὸν κάμνοντα,
to-steer the and doctor when he-takes-over the sick
τοῖς φαρμάκοις καὶ τοῖς περὶ τὴν δίαιταν ἰώμενος,
with-the drugs and the-things about the regimen healing
οὗ ἕνεκα ἐκτήσατο τὴν ἐμπειρίαν.
of-which for-the-sake he-acquired the experience

19 οὐκοῦν καὶ ὑμεῖς, ἔφη, ἐπειδὰν δέῃ τι βουλεύεσθαι
therefore also you he-said when it-may-be-needful something to-deliberate
περὶ τῆς πόλεως, συνελθόντες εἰς τὴν ἐκκλησίαν, οἱ
about the city having-come-together into the assembly the(-ones)

μὲν ὑμῶν κιθαρίζουσιν ἀναστάντες, οἱ δέ τινες
indeed of-you play-the-lyre having-stood-up the(-others) and some
παλαίετε, ἄλλοι δὲ ἀναγιγνώσκετε τῶν Ὁμήρου τι
wrestle others and read-aloud of-the of-Homer something
λαβόντες ἢ τῶν Ἡσιόδου; ταῦτα γὰρ ἄμεινον ἴστε
having-taken or of-the of-Hesiod these-things for better you-know
ἑτέρων, καὶ ἀπὸ τούτων οἴεσθε ἄνδρες ἀγαθοὶ ἔσεσθαι
than-others and from these you-think men good to-be-going-to-be
καὶ δυνήσεσθαι τά τε κοινὰ πράττειν ὀρθῶς καὶ τὰ
and to-be-going-to-be-able the both public-affairs to-do rightly and the
ἴδια, καὶ νῦν ἐπὶ ταύταις ταῖς ἐλπίσιν οἰκεῖτε τὴν πόλιν καὶ
private and now on these the hopes you-govern the city and
τοὺς υἱέας παρασκευάζετε ὡς δυνατοὺς ἐσομένους χρῆσθαι
the sons prepare as able going-to-be to-use
τοῖς τε αὑτῶν καὶ τοῖς δημοσίοις πράγμασιν, οἳ ἂν ἱκανῶς
the both their-own and the public affairs who — sufficiently
κιθαρίσωσι Παλλάδα περσέπολιν δεινὰν ἢ τῷ ποδὶ βῶσι
play-on-the-lyre Pallas sacker-of-cities dread or with-the foot stamp
πρὸς τὴν λύραν· ὅπως δὲ γνώσεσθε τὰ συμφέροντα
to the lyre how but you-will-know the-things advantageous
ὑμῖν αὐτοῖς καὶ τῇ πατρίδι καὶ νομίμως καὶ δικαίως
for-you yourselves and for-the fatherland and lawfully and justly
μεθ' ὁμονοίας πολιτεύσεσθε καὶ οἰκήσετε, μὴ ἀδικῶν
